www.tezaurliturgic.ro

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΝΗΣΤΟΡΟΣ ΙΩΣΗΦ

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΑΓΙΟΥ ΝΙΚΟΔΗΜΟΥ
ΕΛΛΗΝΙΚΟΥ ΓΟΡΤΥΝΙΑΣ
2012 23

www.tezaurliturgic.ro

ΔΙΑΝΕΜΕΤΑΙ ΔΩΡΕΑΝ

[illegible]

ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.

[illegible]

[illegible]

[illegible]


Ο ΑΓΙΟC ΔΙΚΑΙΟC
ΙΩCΗΦ
Ο
ΜΝΗCΤΩΡ ΘΕΟΤΟΚΟΥ
IC XC

# ΠΡΟΛΟΓΟΣ

Δὲν ἀπαιτεῖται ἰδιαιτέρα γνῶσις καὶ παιδεία διὰ ν' ἀντιληφθῇ κανείς, ὅτι οἱ σημερινοὶ Χριστιανοὶ καὶ εἰς τὴν πίστιν καὶ προπαντὸς εἰς τὰ ἔργα, ἀπέχομεν ἔτη πνευματικοῦ φωτός, τῶν πιστῶν ἐκείνων, ποὺ διέλαμψαν κατὰ τοὺς 3-4 πρώτους μ.Χ. αἰῶνας.

Ἡ ζοφερὰ αὐτὴ πνευματικὴ εἰκὼν εἰς τὰς ἡμέρας μας ἐναργῶς καταδεικνύεται ὄχι μόνον ἐκ τῆς ἀδιαφορίας μας πρὸς ἐναρμόνισιν μὲ τοὺς Πατροπαραδότους Ἱεροὺς Κανόνας, ἀλλὰ καὶ ἐκ τῶν συντόνων προσπαθειῶν, ὅπως προβληθοῦν καὶ καθιερωθοῦν εἰς τὸ Ἁγιολόγιον τῆς Ἐκκλησίας ἄνδρες καὶ γυναῖκες, οἱ πλεῖστοι τῶν ὁποίων στεροῦνται ἀκόμη καὶ αὐτὰ τὰ βασικὰ ἐχέγγυα ἀνακηρύξεώς των, ἐνῶ ὀλίγοι μάλιστα ἐξ αὐτῶν ἐσχάτως ἁγιοποιήθησαν μέσα ἀπὸ τὰ ὄνειρα καὶ τὶς σατανικὲς φαντασίες ὁραματιστριῶν γυναικῶν.

Ἔτσι οἱ παλαιοὶ Ἅγιοι, Ἀποστολικοὶ διδάσκαλοι, Οἰκουμενικοὶ φωστῆρες, Ἀνάργυροι, Μάρτυρες, Ὅσιοι πατέρες καὶ μητέρες σιγά-σιγὰ τίθενται εἰς τὸ περιθώριον, μὲ πλημμελῆ ἀναφορὰ εἰς τὴν κατ' ἔτος μνήμην των, μὲ λιψὲς ᾀσματογραφίες μὲ ὑποτυπώδεις ἑορταστικὰς γενικῶς ἐκδηλώσεις.

Ἐξέχουσα θέσι ἐν μέσῳ τῶν λησμονηθέντων Μεγάλων Ἁγίων τῆς Ὀρθοδόξου Ἐκκλησίας ἀναμφίβολα κατέχει ὁ Μνήστωρ τῆς Ἁγίας Παρθένου Ἰωσήφ. Ὁ ἐκλεκτὸς αὐτὸς ὑπηρέτης καὶ θεράπων τῆς θείας Χάριτος καὶ Οἰκονομίας, παρ' ὅλον ὅτι ὑπῆρξε ὁ μοναδικὸς θεατὴς τῆς ἀρρήτου Γεννήσεως τοῦ Θεανθρώπου καὶ διακόνησε μὲ Ἀγγελικὸν φρόνημα τὴν ὑψηλοτάτην εἰς αὐτὸν ἀνατεθεῖσαν ὑπουργίαν, ἐν τούτοις ἡ κατ' ἔτος ἑορτή του στερεῖται ἐπισήμως καὶ αὐτῆς ἀκόμη τῆς τυπικῆς ἡμερο-

www.tezaurliturgic.ro

μηνίας. Ἂν μάλιστα ὁ ἐκ τῶν κορυφαίων Ἱερῶν Ἀσματογράφων δὲν συνωνυμοῦσε μετὰ τοῦ Ἰωσὴφ τὸ μνημόσυνόν του ἄνευ ᾠδῶν καὶ εἱρμῶν θὰ ἐξέλιπε «μετ᾽ ἤχου».

Οἱ λόγοι αὐτοὶ μᾶς ὑπεχρέωσαν νὰ ἐκδόσωμεν τὴν πλήρη Ἀσματικὴ Ἀκολουθία τοῦ Μνήστορος Ἰωσήφ, ἡ ὁποία ἀξιοχρέως ὀφείλει νὰ συνεορτάζεται τὴν 26ην Δεκεμβρίου, μὲ τὴν Σύναξιν δηλαδὴ τῆς Ὑπεραγίας Θεοτόκου, τὴν ἑπομένην ἡμέραν τῶν Χριστουγέννων.

Εἰς τὴν ἐκπλήρωσι τῶν προσπαθειῶν μας σημαίνουσα ὑπῆρξε ἡ συμβολὴ τῆς ὑμνογράφου Ἰσιδώρας προϊσταμένης τῆς Ἱ. Μονῆς Ἁγίου Ἱεροθέου Μεγάρων Ἀττικῆς.

Προσφέροντες ἐν τέλει ὡς ἐλάχιστον ἀντίδωρον τὴν παροῦσα Ἀκολουθίαν εἰς τὸν Μνήστορα Ἰωσήφ, λαμβάνομεν τὸ θάρρος νὰ τὸν παρακαλέσωμεν εἰς τὰς δυσκόλους αὐτὰς ἡμέρας ποὺ διερχόμεθα νὰ μᾶς διαφυλάττῃ παντὸς κακοῦ καὶ ἰδιαιτέρως νὰ μεσιτεύῃ διὰ τὴν ψυχικήν μας σωτηρίαν, ἐν Χριστῷ Ἰησοῦ ὑπὸ Μητρὸς Παρθένου Γεννηθέντι καὶ ὑπὸ τοῦ ἰδίου ἐν πλείσταις ὅσαις διακονίαις Ἀγγελικῶς ἀνατραφέντι. Αὐτῷ ἡ δόξα, ἡ τιμή, ἡ προσκύνησις καὶ ἡ λατρεία.

Διὰ τὴν Ἱερὰν Μονὴν

*Μοναχὸς Νικόδημος*

# ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

### *Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου καὶ τοῦ Μνήστορος Ἰωσήφ.*

Εἰ τύχοι ἡ Σύναξις ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὥς ἐστι διατεταγμένη ἐν τῇ Ἀκολουθίᾳ αὐτῆς.

Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὸ α´ κάθισμα τοῦ ψαλτηρίου ὅλον. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους Ι´ καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα δ´ καὶ τοῦ Μνήστορος στ´. Δόξα, Τῶν Προπατόρων τοῦ Χριστοῦ... Καὶ νῦν, τὸ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, φῶς ἱλαρόν, προκείμενον, Ὁ Κύριος ἐβασίλευσεν, προηγεῖται γὰρ τοῦτο πάντων τῶν προκειμένων. Τὰ ἀναγνώσματα. Εἰς τὸν στίχον, τὰ ἀναστάσιμα στιχηρά, καὶ δύο τοῦ Μνήστορος, «χαίρει ἡ Ναζαρέτ» καὶ «Μνήστωρ τῆς Θεοτόκου Μητρὸς» μετὰ τῶν προτασσομένων στίχων τους. Δόξα. Τὸν τῆς δικαιοσύνης υἱόν, καὶ νῦν, Μάγοι Περσῶν βασιλεῖς. Ἀπολυτίκιον ἀναστάσιμον, ἡ Γέννησίς σου Χριστέ... Δόξα τῆς Ἁγνῆς Θεοτόκου. Καὶ νῦν. Ἡ Γέννησίς σου. Ἐν τῷ Μεσονυκτικῷ ὁ Τριαδικὸς κανών, ἡ Λιτή, καὶ τὰ Τριαδικὰ Μεγαλυνάρια.

Ἐν τῷ ὄρθρῳ, εἰς τὸ Θεὸς Κύριος τὰ ἀπολυτίκια ὡς ἐν τῷ ἑσπερινῷ. Μετὰ τὴν α´ στιχολογίαν, δύο ἀναστάσιμα καθίσματα, δόξα τοῦ Μνήστορος, προπάτορες Χριστοῦ, καὶ νῦν τῆς ἑορτῆς, Πατρὸς ὡς ἀληθῶς. Μετὰ τὴν β´ στιχολογίαν, ἕτερα δύο ἀναστάσιμα, δόξα τοῦ Μνήστορος, καὶ νῦν τῆς ἑορτῆς. Δεῦτε ἴδωμεν πιστοί. Ὁ πολυέλεος καὶ ἀναστάσιμα εὐλογητάρια, ἡ ὑπακοὴ τοῦ ἤχου, καὶ τὸ κάθισμα, Τὴν εἰς Αἴγυπτον φυγήν, Δόξα καὶ νῦν τῆς ἑορτῆς. Ὁ ἀχώρητος παντί. Οἱ ἀναβαθμοὶ καὶ τὸ προκείμενον. Εὐαγγέλιον ἑωθινὸν ἀναστάσιμον, Ἀνάστασιν Χριστοῦ. Ὁ Ν´ κλπ.

Κανόνες ὁ Ἀναστάσιμος, οἱ δύο τῆς ἑορτῆς καὶ εἷς τοῦ

Μνήστορος. Ἀπὸ γ΄ ᾠδῆς κοντάκιον καὶ Οἶκος ἀναστάσιμα. Κάθισμα, τῆς Παρθένου τὸν Μνήστορα Ἰωσήφ, Δόξα καὶ νῦν, Ἀγαλλιάσθω οὐρανός. Ἀφ᾽ ἕκτης κοντάκιον τῆς ἑορτῆς καὶ τοῦ Μνήστορος μὲ τὸν οἶκον αὐτοῦ. Συναξάριον τῆς ἡμέρας καὶ τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν.

Καταβασίαι διπλαῖ. Ἡ τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλὰ ψάλλονται ἡ τῶν κανόνων θ΄ ᾠδή, εἰς δὲ τὰ ἀναστάσιμα τροπάρια προτάσσεται ὁ στίχος, Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε, εἰς τὰ τῆς ἑορτῆς καὶ τοῦ Μνήστορος ἀνὰ ἓν μεγαλυνάριον.

Εἶτα Μεγάλυνον ψυχήν μου τὴν τιμιωτέρα... Μυστήριον ξένον... καὶ εἰς τὴν δευτέρα, Μεγάλυνον ψυχήν μου τὴν λυτρωσαμένην... Στέργειν μὲν ἡμᾶς...

Ἐξαποστειλάρια τὸ ἀναστάσιμον, τῆς ἑορτῆς καὶ τοῦ Μνήστορος. Εἰς τοὺς αἴνους, ἀναστάσιμα γ΄ τῆς ἑορτῆς β΄ καὶ τοῦ Μνήστορος γ΄. Δόξα Μεγαλοφώνως ᾄσωμεν πιστοί, καὶ νῦν, Σήμερον ὁ Χριστός, Δοξολογία μεγάλη καὶ τὸ Σήμερον τῆς σωτηρίας... ἢ τὸ Ἀναστὰς ἐκ τοῦ μνήματος.

Εἰς τὴν Λειτουργίαν τὰ ἀντίφωνα εἰσοδικόν, ἐκ γαστρὸς πρὸ Ἑωσφόρου... Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἀναστὰς ἐκ νεκρῶν... Ἀπολυτίκια, Ἀναστάσιμον, τῆς Ἑορτῆς, τοῦ Μνήστορος καὶ τοῦ Ἁγίου τῆς μονῆς. Ὑπακοή, τοῦ Μνήστορος ἡ Παρθένος σήμερον... Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.

Ἀπόστολος Ἀδελφοὶ ὁ ἁγιάζων καὶ ὁ ἁγιαζόμενος...

(Ζήτει τῇ ΣΤ΄ ὥρᾳ τῆς Μεγάλης Παρασκευῆς)

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Ἀναχωρησάντων τῶν Μάγων...

(Ζήτει τῇ θ΄ ὥρᾳ ὧν Χριστουγέννων). Εἰς τὸ Ἐξαιρέτως, τὸ Μεγάλυνον ψηχήν μου τὴν τιμιωτέρα... Μυστήριο ξένον. Κοινωνικὸν Λύτρωσιν ἀπέστειλε Κύριος καὶ Αἰνεῖτε τὸν Κύριον.

# ΠΑΝΗΓΥΡΙΚΗ ᾀΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΠΡΟΠΑΤΟΡΟΣ
## ΙΩΣΗΦ
## ΤΟΥ ΜΝΗΣΤΟΡΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

***Οὗ ἡ ἱερὰ σύναξις ἐπιτελεῖται τὴν 26ην Δεκεμβρίου***

Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς
Ἁγιεροθεϊτίσσης

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄. Καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Παναγίας Παρθένου, τὸν θεῖον μνήστορα, τῆς ἐκλογῆς τὸ σκεῦος, σωφροσύνης τὸ ἄνθος, ᾄσωμεν συμφώνως, τὸν Ἰωσήφ, τῶν δικαίων τὸ σέμνωμα, τῆς Παλαιᾶς Διαθήκης καὶ τῆς Καινῆς, τὸν ἐν μέσῳ διαπρέψαντα.

Τοῦ Ἰωσὴφ εὐαρέστως, δεῦτε θαυμάσωμεν, τῶν ἀρετῶν τὸν πλοῦτον, καὶ τὰ ἄριστα ἤθη, μνήστωρ οὖν Παρθένου, τῆς Μαριάμ, πρεπωδῶς ἐχρημάτισε, καὶ ἐθεάσατο οὕτω τὴν τοῦ Θεοῦ, συγκατάβασιν ἀπόῤῥητον.

Ἐν τῇ Αἰγύπτῳ ὡς βρέφος, Χριστὸν τὸν Κύριον, σὺν τῇ Μητρὶ Παρθένῳ, Ἰωσὴφ ὁδηγήσας, διέφυγες Ἡρῴδου, ἐκ μανικοῦ, τῶν χειρῶν τὸν Θεάνθρωπον, οὕτως

εὐχαῖς σου ἐξάγαγε ἐκ παθῶν, τῆς «Αἰγύπτου» τοὺς ἱκέτας σου.

Σὺν τῇ τετράδι υἱῶν σου, καὶ θυγατέρων σου, τῇ συναπτῇ τριάδι, Ἰωσὴφ θεομάκαρ, πρέσβευε ἀπαύστως, ὑπὲρ ἡμῶν, τῶν πιστῶς εὐφημούντων σε, τῆς Θεοτόκου ὡς μνήστωρ γὰρ πρὸς Θεόν, ἰσχυρὰν πρεσβείαν κέκτησαι.

Δόξα. Ἦχος α΄.

Τῇ εὐφροσύνῳ ἡμέρᾳ τῶν Γενεθλίων τοῦ Χριστοῦ, δεῦτε ἀξίως μακαρίσωμεν, σὺν τῇ Μητρὶ Αὐτοῦ ἀειπαρθένῳ Μαριάμ, τὸν ταύτης μνήστορα, Ἰωσὴφ τὸν ἀξιΰμνητον. Οὗτος γὰρ σωφρόνως καὶ δικαίως πολιτευθείς, τῷ Θεῷ τῶν πατέρων ἡμῶν καλῶς εὐηρέστησε, καὶ ἔλαβε παρ᾽ Αὐτοῦ τῆς εὐλογίας τὴν ἀπαρχήν, καὶ τῆς χρηστῆς διακονίας, τὸ ὑπέρτιμον ἀξίωμα.

Καὶ νῦν.

Τὸν κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν, ῥεύσαντα ἐκ παραβάσεως, ἰδὼν ὁ Ἰησοῦς, κλίνας οὐρανοὺς κατέβη, καὶ ᾤκησεν ἐν μήτρᾳ παρθενικῇ ἀναλλοιώτως· ἵνα ἐν αὐτῇ, τόν φθαρέντα Ἀδάμ, ἀναπλάσῃ κράζοντα· Δόξα τῇ ἐπιφανείᾳ σου, ὁ λυτρωτής μου καὶ Θεός.

Εἰς τὰ Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Χαίροις ὦ Ἰωσήφ, ὁ μνήστωρ τῆς Παρθένου, καὶ Θεοτόκου Κόρης, τῆς πίστεως ὁ λύχνος, τῆς χάριτος ἀπαύγασμα.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· ...

Τάξεις αἱ ἱεραί, Χριστοῦ τῶν προπατόρων, ὦ Ἰωσὴφ σκιρτῶσι, τῇ μνήμῃ σου τῇ θείᾳ, καὶ χαίρουσιν οἱ Δίκαιοι.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε·...

Ἔλαμψας Παλαιᾶς, καὶ Νέας Διαθήκης, ὦ Ἰωσὴφ ἐν μέσῳ, ὡς μνήστωρ τῆς Παρθένου, σφραγὶς τῶν Προπατόρων τε.

Δόξα. Τριαδικόν.

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι ἁγίῳ, ἡ τριλαμπὴς Θεότης, ἐλέησον καὶ σῶσον, τοὺς πίστει σοι λατρεύοντας.

Καὶ νῦν. Θεοτοκίον.

Σήμερον οὐρανός, τῇ γῇ συνεορτάζει, ἐκ κόρης γὰρ Παρθένου, τῶν ὅλων ὁ Δεσπότης, ἐν τῷ σπηλαίῳ τίκτεται.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.

Δόξα. Τοῦ Ἁγίου. Ἀπολυτίκιον.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὸν προπάτορα δεῦτε τοῦ Χριστοῦ εὐφημήσωμεν, μνήστορα Παρθένου Μαρίας, Ἰωσὴφ τὸν μακάριον· ἐν φάτνῃ γὰρ παρέστη μετ᾽ αὐτῆς, καὶ εἶδε γεννηθέντα τὸν Χριστόν, Ὃν εἰς Αἴγυπτον ὡδήγησε τοῦ φυγεῖν, Ἡρώδου ξίφος εὔτονον. Χαίροις τοῦ θείου νόμου πληρωτά, χαίροις Δικαίων πρόκριτε· Χαίροις τῶν θαυμασίων τῶν καινῶν, ὁ γνοὺς τὴν ἀποκάλυψιν.

Καὶ νῦν. Ἡ Γέννησίς σου...

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους η΄. Καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Συμφώνως αἰνέσωμεν πιστοί, Ἰωσὴφ τὸν δίκαιον, τῆς Θεοτόκου τὸν μνήστορα· Χριστοῦ προπάτορα, τὸν ἀγαθωσύνῃ, καὶ σοφίᾳ κρείττονι, καὶ κάλλει ἀρετῶν διαλάμψαντα, πολλὴν γὰρ κέκτηται, παῤῥησίαν πρὸς τὸν Κύριον, τοῦ παρέχειν τῶν εὐχῶν τὴν ἔκβασιν.

Δικαίων ἀγάλλεται χορός, τῇ ἁγίᾳ μνήμῃ σου, ὦ Ἰωσὴφ δικαιότατε· ὁμοῦ εὐφραίνεται, ἡ τῶν Προπατόρων, ἱερὰ ὁμήγυρις, σκιρτᾷ τε Μαριὰμ ἡ πανάσπιλος, αὐτῆς ὡς μνήστωρ γάρ, καὶ προστάτης διεφύλαξας, ἐκτελέσας τοῦ Θεοῦ τὸ πρόσταγμα.

Ὑψίστου ὑπούργησας καλῶς, τὰ φρικτὰ μυστήρια, ὦ Ἰωσὴφ τιμιώτατε· Χριστοῦ τὴν Γέννησιν, ἐξ Ἁγνῆς Παρθένου, παραστὰς μακάριε, Ποιμένων τὴν προσκύνησιν εἶδές τε, τῶν Μάγων δῶρά τε, ἐν Σπηλαίῳ ὑμνῳδίας τε, οὐρανίους τῶν Ἀγγέλων ἤκουσας.

Ὁ βίος σου μνῆστορ Ἰωσήφ, τῷ Θεῷ εὐάρεστος, ἐν τελειότητι γέγονε· καὶ γὰρ ἠγάπησας, σωφροσύνην πάτερ, καὶ τὴν θείαν σύνεσιν, ἁγνείαν καθαρότητα ἅμα τε, ψυχῆς εὐθύτητα, καὶ τῆς γνώμης τὸ ἀκέραιον, διὸ εὗρες τῆς ζωῆς τὸν στέφανον.

Ἕτερα. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Χαίροις Ἰωσὴφ μακάριε! τῶν προπατόρων Χριστοῦ, ἡ σφραγὶς ἡ θεόκτυπος, δικαίων τὸ καύχημα, ἐκκλησίας ὁ ἔπαινος· τῆς Θεοτόκου μνήστωρ ὁ τίμιος· τῆς σωφροσύνης στῦλος ἀκλόνητος. Σάλπιγξ ἡ εὔηχος, τῆς Χριστοῦ σαρκώσεως! ἧς τὸν φρικτόν, τρόπον σοὶ ἐλάλησε, Κυρίου Ἄγγελος.

Ὅτε μανικῶς ἐδίωκεν! τὸν Βασιλέα Χριστόν, ὁ Ἡρῴδης ὁ δείλαιος, μαχαίρᾳ ἀνεῖλέ τε, τῶν νηπίων τὸ ἄθροισμα· ὁδοιπορῆσαι αὖθις εἰς Αἴγυπτον· παρὰ Κυρίου ἔσχες τὸ πρόσταγμα. Ἔνθα ἐφύλαξας, Ἰωσὴφ μακάριε, τὸν Λυτρωτήν, κόσμον τὸν ῥυόμενον, ἐκ πάσης θλίψεως.

Μνῆστορ Ἰωσὴφ πανεύφημε! Ἐν τῷ Σπηλαίῳ ἰδεῖν, ἐκ Παρθένου ἠξίωσαι, Κυρίου τὴν Γέννησιν, ἣν προφῆται προήγγειλαν· περιτομήν τε μεθ' ὀκταήμερον· τὴν ἐν Ναῷ τε εἶτα προσέλευσιν. Ἔνθα ἀπόλυσον, Συμεὼν ἐβόησεν! ὁ γηραιός, εἶδον γὰρ καὶ ἔγνωκα, ἐθνῶν Σωτῆρά σε.

Σέβω Ἰωσὴφ τὸ ἔργον σου! ὃ τῇ προστάξει Θεοῦ, εὐπειθῶς ἐπετέλεσας, προστάτης γενόμενος, τῆς ἁγνῆς Θεομήτορος· τῇ γὰρ συνέσει κατακοσμούμενος· καὶ σωφροσύνῃ διακρινόμενος. Ἔσχες ἀξίωμα, ὑπὲρ νοῦν καὶ ἔννοιαν! ἐν θαυμασμῷ, ὅθεν μεγαλύνομεν, τὰ μεγαλεῖά σου!

Δόξα. Ἦχος α΄.

Τῶν προπατόρων τοῦ Χριστοῦ τὴν θείαν κατακλεῖδα, τὸν ἐν δικαίοις εὔσημον καὶ ἐν πατρᾶσι μέγαν, Ἰωσὴφ τὸν ἱερόν, δεῦτε εὐσήμως ἐπαινέσωμεν πιστοί, καὶ ἐξαιρέτως μεγαλύνωμεν. Οὗτος γὰρ παρὰ Θεοῦ, τὴν θαυμαστὴν διακονίαν ἔλαβε, μνήστωρ γενέσθαι τῆς ἁγνῆς ἀειπαρθένου Κόρης. Ὅθεν καὶ ἔβλεψε τρανῶς τὰ ἄῤῥητα μυστήρια, Θεοῦ τοῦ δι' ἡμᾶς ἐν φάτνῃ γεννηθέντος, ὅπως

υἱοθεσίας οἱ πιστοὶ λάβωμεν, τὴν χάριν καὶ τὸν πλοῦτον, ἐν ἐλέει ἀγαθότητος.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Δόξα ἐν ὑψίστοις Θεῷ ἐν Βηθλεὲμ ἀκούω, ὑπὸ Ἀσωμάτων σήμερον, τῷ ἐπὶ γῆς εἰρήνην, εὐδοκήσαντι γενέσθαι. Νῦν ἡ Παρθένος οὐρανῶν πλατυτέρα· ἐξανέτειλε γὰρ φῶς τοῖς ἐσκοτισμένοις, καὶ ταπεινοὺς ὕψωσε τοὺς ἀγγελικῶς μελῳδοῦντας· Δόξα ἐν ὑψίστοις Θεῷ.

Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ἦχος βαρύς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχος. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;...

Στίχος. Καὶ εἶπα· Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;...

Στίχος. Ἐμνήσθην τῶν ἔργων Κυρίου, καὶ εὐφράνθην.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν;...

Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. ια΄ 1).

Τάδε λέγει Κύριος· Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. Καὶ ἀναπαύσεται ἐπ᾽ αὐτῷ Πνεῦμα Θεοῦ· Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει· ἀλλὰ κρινεῖ ἐν δικαιοσύνῃ ταπεινῶν κρίσιν, καὶ ἐλέγξει ἐν

εὐθύτητι τοὺς ἐνδόξους τῆς γῆς· καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ τῷ πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς. Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀλήθειαν εἰλημένος τὰς πλευρὰς αὐτοῦ. Τότε συμβοσκηθήσεται λύκος μετὰ ἀρνῶν, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ· καὶ μοσχάριον, καὶ λέων, καὶ ταῦρος, ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται· καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα. Καὶ παιδίον νήπιον ἐπὶ τρώγλην ἀσπίδων, καὶ ἀπογεγαλακτισμένον ἐπὶ κοίτης ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ κακοποιήσουσιν, οὐδ᾽ οὐ μὴ δυνήσονται ἀπολέσαι οὐδένα ἐπὶ τὸ Ὄρος τὸ Ἅγιόν μου· ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, τιμή.

Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα (Κεφ. γ´ 36).

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ᾽ αὐτοῦ. Μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ, καὶ ὁ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα· πάντες οἱ κρατοῦντες αὐτήν, εἰς ζωήν· οἱ δὲ καταλείποντες αὐτήν, ἀποθανοῦνται. Ἐπιστρέφου Ἰακώβ, καὶ ἐπιλαβοῦ αὐτῆς· διόδευσον πρὸς τὴν λάμψιν κατέναντι τοῦ φωτός αὐτῆς. Μὴ δῷς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. Μακάριοί ἐσμεν Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ ἡμῖν γνωστά ἐστι.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. θ´ 6).

Παιδίον ἐγεννήθη ἡμῖν, υἱός, καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Μεγάλης βουλῆς Ἄγγελος, θαυμαστὸς σύμβου-

λος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. Ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ ὑγείαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ τὸν θρόνον Δαυΐδ, καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ.

### Στιχηρὰ Ἰδιόμελα. Ἦχος α΄. Ἰωάννου Μοναχοῦ.

Ὁ οὐρανὸς καὶ ἡ γῆ, σήμερον προφητικῶς εὐφραινέσθωσαν. Ἄγγελοι καὶ ἄνθρωποι, πνευματικῶς πανηγυρίσωμεν· ὅτι Θεὸς ἐν σαρκὶ ἐπέφανε, τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις, γεννηθεὶς ἐκ γυναικός. Σπήλαιον καὶ φάτνη ὑπεδέξαντο αὐτόν. Ποιμένες τὸ θαῦμα ἀνακηρύττουσι. Μάγοι ἐξ Ἀνατολῶν, ἐν Βηθλεὲμ δῶρα προσάγουσιν· ἡμεῖς δὲ τὸν αἶνον ἀναξίοις χείλεσιν, ἀγγελικῶς αὐτῷ προσάξωμεν· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· ἦλθε γὰρ ἡ προσδοκία τῶν ἐθνῶν· ἦλθεν, ἔσωσεν ἡμᾶς, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ.

### Ἦχος α΄.

Σκιρτήσατε ἐν εὐφροσύνῃ οἱ πιστοί, καὶ ᾄσατε γηθόμενοι, τὴν μνήμην ἑορτάζοντες τοῦ δικαίου Ἰωσήφ, τοῦ μνήστορος τῆς Θεοτόκου. Ἀγάλλου τε καὶ χόρευε ὁ χορός τῶν Προπατόρων τοῦ Χριστοῦ, ὅτι καὶ οὗτος ἐμεγάλυνε τὴν δόξαν σου, καὶ τὰς προσδοκίας σου εἶδεν ἀληθῶς πεπληρωμένας. Χριστοῦ προφθάσας τὴν ἐκ Παρθένου θείαν Γέννησιν, ἐν ᾗ μετ᾽ Ἀγγέλων ἔψαλλε, τὸ Δόξα ἐν Ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

### Ἦχος β΄.

Τῆς σωφροσύνης σου τὸ ὕψος ἐγνωκώς, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς ἡμῶν, ἐξελέξατό σε Ἰωσὴφ Προπάτορ τιμιώτατε, καὶ τῆς Παρθένου Μαριάμ, μνήστορά

σε ἔθετο, τοῦ φυλάττειν ταύτην καὶ προστατεύειν ἐν παντί, καὶ τῇ θείᾳ Οἰκονομίᾳ φιλοτίμως διακονεῖν. Ὅθεν καὶ ἡμεῖς χρεωστικῶς, ὡς τῆς τοῦ Θεοῦ ἡμῶν Μητρὸς παραστάτην εὐμενῆ, μεγαλύνομέν σε ἐν ᾠδαῖς πνευματικαῖς, βοῶντες ἐκτενῶς καὶ λέγοντες. Παράστηθι καὶ ἡμῖν, τοῖς δονουμένοις ταῖς τοῦ βίου θλίψεσι, καὶ γενοῦ τοῖς ἐπικαλουμένοις σε, φύλαξ τε καὶ βοηθὸς εὐμενέστατος.

### Ἦχος γ΄.

Μακάριος εἶ ἀληθῶς, ὦ τρισμάκαρ Ἰωσήφ, ὅτι τὴν εὐλογημένην Θεοτόκον Μαριάμ, παρέλαβες καὶ ἐμνηστεύθης αὐτήν, εἰς ἐκπλήρωσιν τῆς τοῦ Θεοῦ παραγγελίας πρὸς ἡμᾶς, καὶ εἰς ἔκβασιν τῆς προσδοκίας τῶν Ἐθνῶν. Ὅτι τῷ ἐκ ταύτης ἀσπόρως σαρκωθέντι Ἰησοῦ, καὶ ἐν Σπηλαίῳ γεννηθέντι, διηκόνησας καλῶς, καὶ ἀγαθότητι στοργῆς περιεβάλου, Τούτου κηδεμὼν γενόμενος καὶ φύλαξ. Ὡς οὖν ἔχων παῤῥησίαν ἐν τῷ δέεσθαι πολλήν, μὴ ἐπιλάθῃ καὶ ἡμῶν τῶν ἱκετῶν σου, προνοούμενος ἡμῖν τῆς ψυχικῆς ὠφελείας τὰ δωρήματα.

### Ἦχος δ΄.

Ὅτε Ἡρῴδης ὁ παράφρων Βασιλεύς, τὸν τῶν ἁπάντων Βασιλέα καὶ Θεόν, τὸν ἐν τῇ πόλει Βηθλεὲμ ἐκ τῆς Παρθένου γεννηθέντα, ἀνελεῖν μαχαίρᾳ ἠβουλήθη, τότε Ἄγγελος ἐξ οὐρανοῦ ἀπεστάλη σοι, τῷ μνήστορι Ἰωσὴφ εἰπών. Μὴ φοβηθῇς παραλαβεῖν, τὸ παιδίον Ἰησοῦν, καὶ τὴν Ἄχραντον Μητέρα Μαριάμ, ἀλλὰ σπεῦσον καὶ διάβαινε εἰς τὴν Αἴγυπτον ταχύ. Τὸ τοιοῦτον οὖν πρόσταγμα ἀδιστάκτως ἐκτελέσας, μετὰ γνώμης εὐπειθοῦς, γέγονας τύπος τῆς καλῆς ὑπακοῆς, καὶ γνώμων τῆς πρὸς Θεὸν ἀσαλεύτου πίστεως.

### Ἦχος πλ. α΄.

Τὸν μαργαρίτην τῆς ἐκλησίας τὸν πολύτιμον, τὸν χρυσίζοντα λαμπρῶς τῷ κάλλει τῆς εὐπρεπείας, Ἰωσὴφ τὸν μνήστορα τῆς ἀειπαρθένου Θεοτόκου Μαριάμ, δεῦτε ὑμνῳδίαις ἱεραῖς κατακοσμήσωμεν. Τὸν

πλοῦτον καὶ γὰρ δείκνυσιν ἡμῖν τῆς πίστεως, καὶ τοὺς θησαυροὺς τῆς χάριτος προοιμιάζει, ὅτι ἔλαβε παρὰ Θεοῦ τὰ βραβεῖα τῆς ζωῆς, καὶ τῆς οὐρανίου Βασιλείας τὴν ἀπόλαυσιν.

Ἦχος πλ. β΄.

Τὸν ὁλόφωτον ἀστέρα τῆς δικαιοσύνης, τὸν διαλάμποντα τῇ δόξῃ τοῦ θεοπρεποῦς ἀξιώματος, Ἰωσὴφ τὸν τοῦ Χριστοῦ Προπάτορα καὶ μνήστορα τῆς Θεοτόκου, δεῦτε φωτοπρεπῶς προσυπαντήσωμεν πιστοί. Ἐν τῷ μέσῳ καὶ γάρ, τῆς Παλαιᾶς καὶ Νέας Διαθήκης ἱστάμενος, τῆς μὲν τὸ σκότος παρέδραμε, τῆς δὲ τὴν ἱλαρὰν ἀνατολὴν ὑπεδέξατο. Ἐν ἀμφοτέροις οὖν γνωρίσας τὴν ἀλήθειαν, δεικνύει ἡμῖν τὴν ὁδόν, τῆς γνωστικῆς καὶ σωτηριώδους τελειώσεως.

Δόξα. Ἦχος πλ. δ΄.

Ἰωσὴφ ὁ μέγας ἐν πατρᾶσι, καὶ τοῦ μεγάλου Θεοῦ ἡμῶν, ἐκλεκτὸς καὶ εὔχρηστος ὑπηρέτης, ὁ τῇ δικαιοσύνῃ καὶ τῇ χάριτι πληρωθείς, τῷ πληρώματι τῶν ὑπερθέων ἐγκωμίων, μεγαλυνέσθω κατ᾽ ἀξίαν. Ὡς μνήστωρ γάρ, τῆς Παναγίας τοῦ Θεοῦ ἡμῶν Μητρός, Μαρίας τῆς ἀειπαρθένου, εὑρέθη δόκιμος χρυσὸς τῆς γνώσεως. Καὶ πλουτίζει τὰς καρδίας τῶν πιστῶν, τῶν ἐγγιζόντων τούτῳ καὶ ἐκζητούντων, τὰς εὐμενεῖς αὐτοῦ ἱκεσίας πρὸς Θεόν, τὸν ἐλεεῖν καὶ σῴζειν ἡμᾶς δυνάμενον.

Καὶ νῦν. Ἦχος πλ. β΄. Τῆς ἑορτῆς.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν οὐρανῷ, καὶ ἀγάλλονται σήμερον· σκιρτᾷ δὲ πᾶσα ἡ κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεέμ, Σωτῆρα Κύριον· ὅτι πᾶσα πλάνη τῶν εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

## ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν ἀρετῶν ὁ λειμών, τῆς σωφροσύνης ἡ στολὴ ἡ ὑπέρκαλλος, Δικαίων ἡ εὐκοσμία, τῶν Προπατόρων Χριστοῦ, ἡ τελειοτάτη, ὑποτύπωσις· ὁ μνήστωρ ὁ τίμιος, τῆς Ἁγνῆς Θεομήτορος, ὁ πειθαρχήσας, τοῦ Θεοῦ τοῖς προστάγμασι, ἐν πιστότητι, Ἰωσὴφ παναοίδιμε. Νόμου καὶ θείας χάριτος, ὁ μέσον ἱστάμενος, τῆς Παλαιᾶς Διαθήκης, καὶ τῆς Καινῆς τὸ ἐκσφράγισμα, πυξὶς ἀληθείας, ἡ δεικνύουσα τῷ κόσμῳ, τὸ φῶς τῆς γνώσεως.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·...

Χαίρει ἡ Ναζαρὲτ ἐπὶ σοί, τῆς Ἰουδαίας ἡ πολίχνη ἡ εὔσημος, καὶ ᾄδει μητροπρεπῶς σοι, ὦ ἱερὲ Ἰωσήφ, μνῆστορ τῆς Παρθένου, τὰ ἐγκώμια· συνάμα εὐφραίνεται, Βηθλεὲμ ἔνθα ἔβλεψας, ἐν τῷ Σπηλαίῳ, τὴν Παρθένον γεννήσασαν, τὸν ἀχώρητον, Βασιλέα τοῦ σύμπαντος. Μάγους μετὰ ποιμένων τε, ὡσαύτως κομίζοντας, τὰ ἀξιότιμα δῶρα, καὶ τῶν Ἀγγέλων τὰ ᾄσματα, ἀκήκοας δόξα, ἐν Ὑψίστοις μελῳδούντων, ἐν γῇ εἰρήνη τε.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε·...

Μνήστωρ τῆς Θεοτόκου Μητρός, ὦ Ἰωσὴφ θεοπειθῶς ἐχρημάτισας, ἐν πᾶσι συμπαραστάτης, καὶ συμπαθὴς κηδεμών, γνώμῃ εὐθυτάτῃ, σεμνυνόμενος· ὁμοῦ εἰς τὴν Αἴγυπτον, τὸν Χριστὸν ὁδηγήσατε, ὅτε Ἡρῴδης, τῇ μαχαίρᾳ ἀπέκτεινε, πολυάριθμα, ἀπειρόκακα νήπια. Εἶτα εἰς τεσσαράκοντα, ἡμέρας προσήξατε, ἐν τῷ Ναῷ ἔνθα πρέσβυς, ὁ Συμεὼν ἀνεβόησε, τὸ νῦν ἀπολύεις, τὸν σὸν δοῦλον σὲ γὰρ εἶδον, Θεὸν Σωτῆρά μου.

Δόξα. Ἦχος πλ. α΄.

Τὸν τῆς δικαιοσύνης υἱόν, καὶ τῆς ἀγαθότητος χαριέστατον καρπόν, τὸν ἤθεσι χρηστοῖς κεκοσμημένον, καὶ ἀρετῶν τῇ εὐμορφίᾳ διαλάμποντα, Ἰωσὴφ τὸν εὐκλεῆ Χριστοῦ Προπάτορα, δεῦτε θεοκινήτῳ πόθῳ μακαρίσωμεν. Οὗτος γὰρ ἐδίδαξεν ἡμᾶς, ἔργῳ καὶ ἀληθείᾳ, τῆς πρὸς Θεὸν ἀγάπης τὴν ἀκρίβειαν, καὶ τῆς ἀδιστάκτου πίστεως τὸ μέγεθος. Ὅτι ἐκλήθη τοῦ φυλάττειν τὴν Παρθένον Μαριάμ, καὶ γενέσθαι ταύτης μνήστωρ τιμιώτατος. Παρὰ Κυρίου ὅθεν ἔλαβεν ὡς ἀληθῶς, τῆς αἰωνίου δόξης τὸν μισθόν, ἐν τῇ Βασιλείᾳ Αὐτοῦ σὺν τοῖς ἐκλεκτοῖς ἀγαλλιώμενος.

Καὶ νῦν. Ἦχος. Ὁ αὐτός. Τῆς ἑορτῆς.

Μάγοι Περσῶν βασιλεῖς, ἐπιγνόντες σαφῶς, τὸν ἐπὶ γῆς τεχθέντα, Βασιλέα οὐράνιον, ὑπὸ λαμπροῦ ἀστέρος ἑλκόμενοι, ἔφθασαν ἐν Βηθλεέμ, δῶρα προσφέροντες ἔγκριτα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν· καὶ πεσόντες προσεκύνησαν· εἶδον γὰρ ἐν τῷ Σπηλαίῳ, βρέφος κείμενον τὸν Ἄχρονον.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος δ΄.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως· ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν, τὸν Ἥλιον τῆς δικαιοσύνης, καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.

Δόξα. Τοῦ Ἁγίου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὸν προπάτορα δεῦτε, τοῦ Χριστοῦ εὐφημήσωμεν, μνήστορα Παρθένου Μαρίας, Ἰωσὴφ τὸν μακάριον·

www.tezaurliturgic.ro

ἐν φάτνῃ γὰρ παρέστη μετ᾽ αὐτῆς, καὶ εἶδε γεννηθέντα τὸν Χριστόν, Ὃν εἰς Αἴγυπτον ὡδήγησε τοῦ φυγεῖν, Ἡρώδου ξίφος εὔτονον. Χαίροις τοῦ θείου νόμου πληρωτά, χαίροις Δικαίων πρόκριτε· Χαίροις τῶν θαυμασίων τῶν καινῶν, ὁ γνοὺς τὴν ἀποκάλυψιν.

Καὶ νῦν. Ἡ Γέννησίς σου...



# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α´ στιχολογίαν. Κάθισμα.

Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Προπάτορες Χριστοῦ, καὶ οἱ δίκαιοι πάντες, ἡ γῆ καὶ οὐρανός, καὶ ἡ σύμπασα κτίσις, τῇ μνήμῃ σου συγχαίρουσιν, Ἰωσὴφ παναοίδιμε· μνῆστορ τίμιε, τῆς Παναγίας Παρθένου, μεθ᾽ ἧς πρέσβευε, τῷ Λυτρωτῇ καὶ Δεσπότῃ, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἦχος α´. Χορὸς Ἀγγελικός.

Πατρὸς ὡς ἀληθῶς οὐρανίου θεράπων, ἐγένου Ἰωσὴφ καὶ πατὴρ τοῦ Ἀνάρχου Υἱοῦ σὺ νενόμισαι, τοῦ σαρκὶ νηπιάσαντος· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν ἐν εὐφροσύνῃ καρδίας, πιστῶς ἀνυμνοῦντές σε.

Μετὰ τὴν β´ Στιχολογίαν. Κάθισμα.

Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Μυστηρίων ἐνθέων αὐτόπτης γέγονας, ἐν τῷ Σπηλαίῳ ὡς εἶδες ὦ Ἰωσὴφ τὴν Ἁγνήν, Θεοτόκον Μαριὰμ ἀποκυήσασαν· ἄνευ σπορᾶς τὸν Ποιητήν, καὶ Δεσπότην τοῦ παντός, Ὃν Μάγοι μετὰ ποιμένων, προσεκύνησαν καὶ συμφώνως, ἐδοξολόγουν τῶν Ἀγγέλων χοροί.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Δεῦτε ἴδωμεν πιστοί, ποῦ ἐγεννήθη ὁ Χριστός· ἀκολουθήσωμεν λοιπόν, ἔνθα ὁδεύει ὁ ἀστήρ, μετὰ τῶν Μάγων Ἀνατολῆς τῶν Βασιλέων. Ἄγγελοι ὑμνοῦσιν, ἀκαταπαύστως ἐκεῖ. Ποιμένες ἀγραυλοῦσιν, ᾠδὴν ἐπάξιον, Δόξα ἐν ὑψίστοις λέγοντες, τῷ σήμερον ἐν Σπηλαίῳ τεχθέντι, ἐκ τῆς Παρθένου καὶ Θεοτόκου ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

## Ο ΠΟΛΥΕΛΕΟΣ.

Λόγον ἀγαθόν. Ἀλληλούϊα.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Χαῖρε, παντάνασσα πανύμνητε, μῆτερ Χριστοῦ τοῦ Θεοῦ. Ἀλληλούϊα.

Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. Χαῖρε, βασίλισσα τῶν ἀγγέλων, Δέσποινα τοῦ κόσμου. Ἀλληλούϊα.

Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Χαῖρε, τῶν προφητῶν τὸ κήρυγμα, πατριαρχῶν ἡ δόξα. Ἀλληλούϊα.

Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Χαῖρε, ἁγνὴ παρθένε, Θεόνυμφε Δέσποινα. Ἀλληλούϊα.

Ἐξεχύθη χάρις ἐν χείλεσί σου. Χαῖρε, ἄσπιλε ἀμόλυντε, ἄφθορε Παναγία. Ἀλληλούϊα.

Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Χαῖρε, ἡ τῶν ἀπηλπισμένων ἐλπὶς καὶ τῶν πολεμουμένων βοήθεια. Ἀλληλούϊα.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ. Χαῖρε, κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος καὶ διὰ σοῦ μεθ' ἡμῶν. Ἀλληλούϊα.

Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. Χαῖρε, εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Ἀλληλούϊα.

Ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε. Χαῖρε, Παρθένε Θεοτόκε, ἐν γυναιξὶν εὐλογημένη. Ἀλληλούϊα.

Ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης. Χαῖρε, Μαρία, κυρία πάντων ἡμῶν, ὁ Κύριος μετὰ σοῦ τῶν δυνάμεων. Ἀλληλούϊα.

Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου. Χαῖρε, θρόνε πυρίμορφε, τῶν τετραμόρφων ὑπερενδοξοτέρα. Ἀλληλούϊα.

Ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Χαῖρε, Μαρία, κυρία πάντων ἡμῶν. Χαῖρε, μήτηρ τῆς ζωῆς. Ἀλληλούϊα.

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. Χαῖρε, ὑπερευλογημένη, ὑπερδεδοξασμένη. Ἀλληλούϊα.

Περιβεβλημένη, πεποικιλμένη. Χαῖρε, ἄχραντε Θεοτόκε, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν. Ἀλληλούϊα.

Ἄκουσον, θύγατερ καὶ ἴδε καὶ κλῖνον τὸ οὗς σου. Χαῖρε, παράδεισε ἁγιώτατε. Χαῖρε, νύμφη ἀνύμφευτε. Ἀλληλούϊα.

Καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου. Χαῖρε, ἁγία ἁγίων μείζων, χαῖρε νύμφη ἀνύμφευτε. Ἀλληλούϊα.

Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Παναγία Παρθένε, ἐπάκουσον τῆς φωνῆς τοῦ ἀχρείου ἱκέτου σου στεναγμοὺς τῆς καρδίας, προσφέρειν σοὶ ἀεννάως, εὐόδωσον Δέσποινα. Ἀλληλούϊα.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Παναγία Παρθένε, Θεόνυμφε, τὴν οἰκτρὰν λειτουργίαν μου πρόσδεξαι καὶ Θεῷ τῷ εὐσπλάγχνῳ προσάγαγε, ὅπως χαίρων δοξάζω πανάμωμε. Ἀλληλούϊα.

## ΕΚΛΟΓΗ ΜΝΗΣΤΟΡΟΣ ΙΩΣΗΦ.

Τὸ πρόσωπον αὐτοῦ. Ἀλληλούϊα.

Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, λαλῶν ἀλήθεια ἐν καρδίᾳ αὐτοῦ.

Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.

Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.

Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου καὶ δίδαξόν με.

Ὅτι σὺ εἶ ὁ Θεὸς ὁ σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέρα.

Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.

Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ἡ ψυχή μου ὅτι παρ᾽ αὐτῷ ἡ ὑπομονή μου.

Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.

Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν, τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν.

Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας, καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.

Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν.

Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.

Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Ἀπέστειλε τὸν λόγον αὐτοῦ καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν.

Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται· εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ὁ κατοικίζων στεῖρα ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.

Φυλάσσων τὰ νήπια ὁ Κύριος ἐταπεινώθην καὶ ἔσωσέ με.

Ἰδού, οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον.

Δόξα. Ἦχος α´.

Τὸν Πατέρα προσκυνήσωμεν καὶ τὸν Υἱὸν δοξολογήσωμεν καὶ τὸ Πανάγιον ὁμοῦ πάντες Πνεῦμα ἀναμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριάς, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν.

Τὴν Μητέρα σου προσάγει σοι εἰς ἱκεσίαν ὁ λαός σου Χριστέ· ταῖς παρακλήσεσιν αὐτῆς τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν, ἀγαθέ, ἵνα σὲ δοξάζωμεν, τὸν ἐκ Τάφου ἡμῖν ἀνατείλαντα.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Τὴν εἰς Αἴγυπτον φυγήν, τοῦ νηπιάσαντος Χριστοῦ, σὺν Παρθένῳ Μαριάμ, εὐθυδρομήσατε ὁμοῦ, τῇ τοῦ Κυρίου ὑπείκοντες διατάξει. Μνῆστορ Ἰωσὴφ τιμιώτατε, Ἄγγελός σοι γάρ, ἀπεκάλυψε· τὴν τοῦ Ἡρῴδου ἄφρονα μανίαν, ὃς διὰ ξίφους ἀπέκτεινε, νηπίων πλήθη, ἀπειροκάκων, εἰς ζωὴν μεταβάντων.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Ὁ ἀχώρητος παντί, πῶς ἐχωρήθη ἐν γαστρί; ὁ ἐν κόλποις τοῦ Πατρός, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; πάντως ὡς οἶδεν ὡς ἠθέλησε καὶ ὡς ηὐδόκησεν· ἄσαρκος γάρ ὤν, ἐσαρκώθη ἑκών· καὶ γέγονεν ὁ Ὤν, ὃ οὐκ ἦν δι᾽ ἡμᾶς· καὶ μὴ ἐκστὰς τῆς φύσεως, μετέσχε τοῦ ἡμετέρου φυράματος. Διπλοῦς ἐτέχθη, Χριστὸς τὸν ἄνω, κόσμον θέλων ἀναπληρῶσαι.

Εἶτα τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Προκείμενον. Ἦχος δ΄.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. (δίς)

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·...

Καὶ πάλιν. Ἐκ γαστρός...

Τό· Πᾶσα πνοή...

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν.

(Ὅρα εἰς τὴν Α΄ Ὥραν τῆς Παραμονῆς).

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ἦχος β΄.

Τὰ σύμπαντα σήμερον, χαρᾶς πληροῦνται· Χριστὸς ἐτέχθη ἐκ τῆς Παρθένου.

Καὶ νῦν. Τὸ αὐτό. Εἶτα.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμελον.
Ἦχος πλ. β΄.

Τῆς σωφροσύνης ὡς φίλος γνήσιος, καὶ τῆς καθαρᾶς πολιτείας ὡς ἐραστὴς δόκιμος, ἤρεσας Κυρίῳ τῷ Θεῷ σου, ὦ Ἰωσὴφ μακάριε. Διὸ καὶ παρ' Αὐτοῦ πρεπόντως ἐτιμήθης, μνήστωρ γενόμενος τῆς Παναγίας Θεοτόκου Μητρός, ἣν ἐφύλαξας ἐπὶ πᾶσιν, ὡς κόρην ὀφθαλμοῦ ἐπιμελῶς. Καὶ νῦν ἐπιμελήθητι ἡμῶν, ἐν ταῖς πρὸς Θεὸν προσηγορίαις σου, καὶ δίδαξον ἡμᾶς τοῦ φυλάττειν σωφροσύνην ἀκεραίαν, ἵνα φίλοι Θεοῦ εὑρεθῶμεν, καὶ τῆς ἀρετῆς ἐργάται φιλοκάματοι.

Ὁ Ἱερεὺς ἐκτενῆ. Εἶτα οἱ κανόνες.

Πρῶτον ὁ α´ κανὼν τῆς ἑορτῆς.

Ποίημα τοῦ κυρίου Κοσμᾶ, φέρων Ἀκροστιχίδα τήν δε·
«Χριστὸς βροτωθείς, ἦν ὅπερ Θεὸς μένῃ».

Ὠδὴ α´. Ἦχος α´. Ὁ Εἱρμός.

*«Χριστὸς γεννᾶται· δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν· ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς· ὑψώθητε. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί· ὅτι δεδόξασται».*

Ῥεύσαντα ἐκ παραβάσεως, Θεοῦ τὸν κατ᾽ εἰκόνα γενόμενον, ὅλον τῆς φθορᾶς ὑπάρξαντα, κρείττονος ἐπταικότα θείας ζωῆς, αὖθις ἀναπλάττει, ὁ σοφὸς Δημιουργός· ὅτι δεδόξασται.

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον, τὸν ἄνθρωπον χερσὶν ὃν ἐποίησε, κλίνας οὐρανοὺς κατέρχεται· τοῦτον δὲ ἐκ Παρθένου, θείας ἁγνῆς, ὅλον οὐσιοῦται, ἀληθείᾳ σαρκωθείς· ὅτι δεδόξασται.

Σοφία Λόγος καὶ Δύναμις, Υἱὸς ὢν τοῦ Πατρὸς καὶ ἀπαύγασμα, Χριστὸς ὁ Θεὸς δυνάμεις λαθών, ὅσας ὑπερκοσμίου, ὅσας ἐν γῇ, καὶ ἐνανθρωπήσας, ἀνεκτήσατο ἡμᾶς· ὅτι δεδόξασται.

Κανὼν β´ Ἰαμβικὸς εἰς τὴν Γέννησιν, οὗ ἡ ἀκροστιχίς·
«Χαίρετε λαοί, Χριστὸς ἐτέχθη Ἰσιδώρας».

Ἦχος α´. Ὠδὴ α´. Ὁ Εἱρμός.

*«Ἔσωσε λαόν, θαυματουργῶν Δεσπότης,*
*Ὑγρὸν θαλάσσης, κῦμα χερσώσας πάλαι.*
*Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατὴν*
*Πόλου τίθησιν ἡμῖν· ὃν κατ᾽ οὐσίαν*
*Ἶσον τε Πατρί, καὶ βροτοῖς δοξάζομεν».*

Χαίρετε λαοί, τῇ τοῦ Χριστοῦ Γεννήσει,
βοᾷ καὶ κράζει, θεῖος Δικαίων δῆμος.

Δεσμὸς γὰρ πικρᾶς ἐλύθη, αὖθις ἀρᾶς,
Χάρις ἤνθησεν ὁμοῦ· καὶ εὐλογία,
ὅτι τῆς ζωῆς, ἡ ὁδὸς διήνοικται.

Ἄνθρωποι ὁμοῦ, ταῖς στρατιαῖς Ἀγγέλων,
καινὸν βοῶσιν, ὕμνον τῇ κτίσει πάσῃ.
Χριστὸς ὁ Θεὸς ἐτέχθη, πλοῦτον ζωῆς,
νέμων ἅπασι θνητοῖς· ὃν καὶ λαβόντες,
λέγομεν Αὐτῷ, πρεπωδῶς τὸ Δόξα σοι.

Ἴσχυεν ἰσχύς, ὀλοθρευτοῦ τυράννου,
δεινῶς ἀνθρώποις, πᾶσι δουλείαν φέρων.
Χριστὸς δὲ λαβὼν τὴν σάρκα, αὖθις βροτῶν,
δῶρον ἔδωκε ζωῆς· τῆς ἐλευθέρας,
τοῦτο οὖν λαοί, ἐν χαρᾷ δεξώμεθα.

Ῥήματα ζωῆς, ἐν Βηθλεὲμ τῇ πόλει,
καὶ φῶς ἀστέρος, ἔνδον σπηλαίου ὤφθη.
Χριστὸς ὁ Θεὸς ἐν φάτνῃ, βρέφος τεχθείς,
σκότος ἔλυσε δεινόν· τῆς ἀγνωσίας,
γνῶμεν οἱ πιστοί, τὸ τρανὸν μυστήριον.

Εἶτα οἱ κανόνες τοῦ Ἁγίου Ἰωσήφ.
Πρῶτον ὁ τοῦ Μηναίου. Οὗ ἡ Ἀκροστιχίς·

«Χριστοῦ σε μέλπω δεξιὸν παραστάτην. Ἰωσήφ».

Ὠδὴ α΄. Ἦχος α΄. Χριστὸς γεννᾶται.

Χριστοῦ θεράπον μακάριε, Χριστοῦ τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν, Χριστοῦ πατὴρ νομιζόμενος, τούτῳ σὺν παῤῥησίᾳ παρεστηκώς, αἴτησαι εἰρήνην, καὶ δεινῶν ἀπαλλαγήν, τοῖς εὐφημοῦσί σε.

Ῥημάτων θείων ὑπήκοος, πραγμάτων παραδόξων διάκονος, Παρθένου Μνήστωρ Θεόπαιδος, δίκαιος κατὰ πάντα καὶ ἀληθής, Ἰωσὴφ ἐδείχθης, καὶ Δικαίων ἐν σκηναῖς, ἐπαναπέπαυσαι.

Ἰδεῖν Χριστὸν κατηξίωσαι, μορφῇ τῇ καθ' ἡμᾶς νηπιάσαντα, καὶ τούτου Πατὴρ ὠνόμασαι· μεγίστη σου ἡ δόξα ὡς ἀληθῶς! μέγα ὑπὲρ πάντας, τὸ ἀξίωμα! διό, ἀνευφημοῦμέν σε.

Θεοτοκίον.

Σαρκὶ Χριστὸν ἀπεκύησας, ἁγνὴ ἐν Βηθλεὲμ Ἀπειρόγαμε, σπαργάνοις αὐτὸν εἰλήσασα· οὗ τὴν ἐπιδημίαν καταπλαγείς, Ἰωσὴφ σὺν φόβῳ, μεγαλύνει προσκυνεῖ, τὴν τούτου δύναμιν.

Κανὼν β΄. Ἦχος καὶ εἱρμὸς ὁ αὐτός. Οὗ ἡ Ἀκροστιχίς·
«Ἰωσὴφ τὸν μνήστορα ὑμνολογῶ. Ἰσιδώρας»

Ἰδοὺ ἡμέρα, ἑόρτιος. Ἀνέτειλε πιστοί, ἀγαλλόμενοι. Ὠδαῖς καὶ ψαλμοῖς, τιμήσωμεν, μνήστορα τῆς Παρθένου τὸν Ἰωσήφ, τὸν ἐν εὐπρεπείᾳ, διαλάμποντα ζωῆς, καὶ τελειότητος.

Ὡς κρίνον θείας, χρηστότητος. Ὡς ἄνθος εὐθαλές, καὶ ἡδύπνοον. Σεμνὲ Ἰωσήφ, ἐξήνθησας. Ἄῤῥητον ἀποπνέον τὴν χαρμονήν, τοῖς ὑμνολογοῦσι, τῶν ἀμέμπτων σου ἠθῶν, τὰ προτερήματα.

Δόξα Πατρί.

Συνὼν τὰ θεῖα, προστάγματα. Τοῦ νόμου καθαρᾷ, συνειδήσει σου. Αὐτὰ ἀκριβῶς, ἐτήρησας. Ἔλαβες ἐπαξίως οὖν τὴν τιμήν, μνήστωρ χρηματίσας, τῆς Παρθένου Μαριάμ, τῆς Θεομήτορος.

Καὶ νῦν. Θεοτοκίον.

Ἡλίου πύλη, καλοῦμέν σε. Χριστὸν ἀνατολήν, τὴν ἀνέσπερον. Γαστρὸς ἐξ ἁγνῆς, ὡς τέξασα. Ἄχραντε Θεοτόκε ὅθεν ἡμᾶς, τοὺς ἐσκοτισμένους, ἀνακάλεσαι πρὸς φῶς, τῆς ἐπιγνώσεως.

Καταβασίαι. Διπλαῖ.

Χριστὸς γεννᾶται…

Ἔσωσε λαόν…

Τῆς ἑορτῆς. Ὠδὴ γ΄. Ὁ εἱρμός.

*«Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε».*

Ὁ τῆς ἐπιπνοίας, μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκός, καὶ πρὸς φθορὰν κατολισθήσας, γυναικείᾳ ἀπάτῃ, Χριστὸν γυναικὸς βοᾷ ἐξορῶν· ὁ δι᾽ ἐμὲ κατ᾽ ἐμὲ γεγονώς, ἅγιος εἶ Κύριε.

Σύμμορφος πηλίνης, εὐτελοῦς διαρτίας Χριστὲ γεγονώς, καὶ μετοχῇ σαρκὸς τῆς χείρω, μεταδοὺς θείας φύτλης, βροτὸς πεφυκὼς καὶ μείνας Θεός, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, ἅγιος εἶ Κύριε.

Βηθλεὲμ εὐφραίνου, Ἡγεμόνων Ἰούδα βασίλεια· τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων, Χερουβὶμ ὁ ἐπ᾽ ὤμων, ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, πάντων ἐβασίλευσεν.

Ἕτερος. Ὠδὴ γ΄. Ὁ εἱρμός.

*«Νεῦσον πρὸς ὕμνους οἰκετῶν Εὐεργέτα*
*Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν·*
*Φέρων τε παντεπόπτα τῆς ἁμαρτίας*
*Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους,*
*Μάκαρ μελῳδούς, τῇ βάσει τῆς πίστεως».*

Ἔργοις ἐνθέοις ἀρετῶν κατ᾽ ἀξίαν,
Χριστοῦ ἐπὶ γῆς τὴν παρουσίαν πιστοί·
Σήμερον ὑπαντῶντες ὥσπερ οἱ Μάγοι

πίστεως ἀγάπης τε καὶ τῆς ἐλπίδος,
ὥσπερ θησαυρόν, τὰ δῶρα προσάξωμεν.

Τόμῳ ἐν ζώντων τῷ καινῷ ἐνεγράφη,
Ἀδὰμ ὁ τὸ πρὶν ἐκ παραδείσου βληθείς·
πάλιν τε ἠξιώθη τῆς κοινωνίας,
χάριτος ἐνδύματι κεκοσμημένος,
ὅτι ὁ Χριστός, τὴν σάρκα ἐφόρεσεν.

Ἕνα ἐν δύῳ ἐπὶ γῆς ταῖς οὐσίαις,
Χριστὸν τὸν Θεὸν ἡ Θεοτόκος Ἁγνή·
ἔτεκεν ἀπειράνδρως Πατρὸς βουλήσει,
Πνεύματος Ἁγίου τε τῇ ἐπελεύσει,
Τούτῳ εὐλαβῶς, τὸ γόνυ προσκλίνωμεν.

Λύεις τὸ σκότος τῆς νυκτὸς τὸ ζοφῶδες,
αὐγὴν μυστικὴν ἐξανατείλας Χριστέ·
πύλην τε ὑπανοίγεις τῆς Βασιλείας,
πάγχρυσον ὁλόφωτον εὐπρεπεστάτην,
πλήρη ἀγαθῶν, ἀφάτου χρηστότητος.

Τοῦ Ἁγίου.

Τοῦ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς ἀποῤῥήτως ἐκλάμψαντος, καὶ ἐκ Παρθένου ἐπ᾽ ἐσχάτων, σαρκωθέντος ἀφράστως, Πατὴρ ὠνομάσθης ἔνδοξε, καὶ μυστηρίου φρικτοῦ θεωρός, μάκαρ ἐχρημάτισας.

Ὃν αἱ ἄνω τάξεις, ὡς Θεὸν ἀπερίγραπτον τρέμουσι, τοῦτον τεχθέντα ἐκ Παρθένου, Ἰωσὴφ ταῖς χερσί σου, κρατεῖς καθαγιαζόμενος, τῇ ἐπαφῇ τῇ φρικώδει σοφέ· ὅθεν σε γεραίρομεν.

Ὕψος μυστηρίου, γενεαῖς μὴ γνωσθέντος ταῖς πρώην σοφέ, κατεπιστεύθης τῇ καρδίᾳ, καθαρὸς δεδειγμένος· δι᾽ οὗ ἅπαντες ἐσώθημεν, οἱ τὴν φωσφόρον καὶ θείαν πιστῶς, μνήμην σου δοξάζοντες.

### Θεοτοκίον

Σάρκα εἰληφότα, ἐξ ἁγνῶν σου αἱμάτων Παρθένε ἁγνή, καὶ ἐν σπηλαίῳ γεννηθέντα, καὶ ἐν φάτνῃ τεθέντα, ἰδὼν Ἰωσὴφ ὁ δίκαιος, τὸν καθ' ἡμᾶς ὁραθέντα Θεόν, ὕμνοις ἐμεγάλυνεν.

### Ἕτερος τοῦ Ἁγίου.

Φύλαξ τῆς Παρθένου, καὶ προστάτης καὶ μνήστωρ αὐτῆς Ἰωσήφ, τοῦ ἐξ αὐτῆς τε γεννηθέντος, κηδεμὼν χρηματίσας, ἡμῖν ἑαυτὸν παρέδωκας· τῆς ἀκριβοῦς καὶ καλῆς ὑπακοῆς, τύπον καὶ ὑπόδειγμα.

Τίς τὰς διακρίσεις, ἐπαινέσει ἀξίως τὰς σὰς Ἰωσήφ, σὺ γὰρ τῶν θείων προπατόρων, ὑπερέχεις ἁπάντων, Χριστὸν τὸν Θεὸν γὰρ ἔβλεψας· ἐν τῷ Σπηλαίῳ μνηστῆς ἐξ ἁγνῆς, νήπιον γενόμενον.

Δόξα Πατρί.

Ὄλβιαι αἱ χεῖρες, Ἰωσὴφ αἱ σεπταί σου καὶ γὰρ τὸν Χριστόν, ἐνηγκαλίσαντο τεχθέντα, ἐκ Παρθένου Μαρίας, αὐτὰς ἐκτενῶς πρὸς Κύριον· ἐν παῤῥησίᾳ οἰκείας φωνῆς, ὕψωσον εἰς δέησιν.

Καὶ νῦν. Θεοτοκίον.

Νύμφη τε καὶ Μῆτερ, τοῦ Θεοῦ σὺ ὑπάρχεις Μαρία Ἁγνή, καὶ συνδυάζεις παραδόξως, παρθενίαν καὶ τόκον, τὸ σὸν θαυμαστὸν μυστήριον· ὑπερεκπλήττει ἀνθρώπων τόν νοῦν, τάξεις τῶν Ἀγγέλων τε.

### Καταβασίαι.

Τῷ πρὸ τῶν αἰώνων…

Νεῦσον πρὸς ὕμνους…

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς Παρθένου τὸν μνήστορα Ἰωσήφ, ἐπαινέσωμεν πόθῳ οἱ γηγενεῖς, συμφώνως μακαρίζοντες, τὰ αὐτοῦ προτερήματα· τὴν εὐθυτάτην γνώμην, καὶ τρόπους τοὺς κρείττονας· τὴν τῶν ἠθῶν χρηστότητα, καὶ βίον τὸν ἄμεμπτον. Χαίροις ἐκβοῶντες, τοῦ Κυρίου προπάτορ, δικαίων ὁ ἔπαινος, ἐκκλησίας τὸ σέμνωμα, ἀληθείας βεβαίωσις. Δίδαξον ἡμᾶς τοῦ τηρεῖν, ἐνσυνειδήτως τὰ θεῖα θελήματα· ἵνα λάβωμεν στέφος, αἰωνίου λαμπρότητος.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.
Ἦχος ὁ αὐτός. Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω οὐρανὸς γῆ εὐφραινέσθω· ὅτι ἐτέχθη ἐπὶ γῆς ὁ Ἀμνὸς τοῦ Θεοῦ, παρέχων τῷ κόσμῳ τὴν ἀπολύτρωσιν. Ὁ Λόγος ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρός, προῆλθεν ἐκ τῆς Παρθένου ἄνευ σπορᾶς· ὃν οἱ Μάγοι ἐξίσταντο, ὁρῶντες ἐν Βηθλεέμ, τικτόμενον ὡς νήπιον· ὃν δοξάζει τὰ σύμπαντα.

Ὠδὴ δ΄. Ὁ εἱρμός.

«*Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός. Δόξα τῇ δυνάμει σου Κύριε*».

Ὃν πάλαι προεῖπεν Ἰακώβ, ἐθνῶν ἀπεκδοχὴν Χριστέ, φυλῆς Ἰούδα ἐξανέτειλας, καὶ δύναμιν Δαμασκοῦ, Σαμαρείας σκῦλά τε, ἦλθες προνομεύσων πλάνην τρέπων, εἰς πίστιν θεοτερπῆ. Δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ μάντεως πάλαι Βαλαάμ, τῶν λόγων μυητὰς σοφούς, ἀστεροσκόπους χαρᾶς ἔπλησας, ἀστὴρ ἐκ τοῦ Ἰακώβ, ἀνατείλας Δέσποτα, Ἐθνῶν ἀπαρχὴν εἰσαγομένους· ἐδέξω δὲ προφανῶς, δῶρά σοι δεκτὰ προσκομίζοντας.

Ὡς πόκῳ γαστρὶ Παρθενικῇ, κατέβης ὑετὸς Χριστέ, καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι· Αἰθίοπες καὶ Θαρσεῖς, καὶ Ἀράβων νῆσοί τε, Σαβᾶ Μήδων πάσης γῆς, κρατοῦντες προσέπεσόν σοι Σωτήρ. Δόξα τῇ δυνάμει σου Κύριε.

Ἕτερος. Ὠδὴ δ΄. Ὁ εἱρμός.

*«Γένους βροτείου, τὴν ἀνάπλασιν πάλαι,*
*ᾄδων Προφήτης, Ἀββακοὺμ προμηνύει,*
*ἰδεῖν ἀφράστως, ἀξιωθεὶς τὸν τύπον·*
*νέον βρέφος γάρ, ἐξ ὄρους τῆς Παρθένου,*
*ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν Λόγος».*

Αἶνον συμφώνως, χαριστήριον πλέκω,
ᾄδων τὴν πρώτην, ἐπὶ γῆς παρουσίαν,
Χριστοῦ ὃν Κόρη, παρθενικῆς ἐκ μήτρας·
θείως ἔτεκε, τοὺς ὅρους ὑπερβᾶσα,
Παρθένος Ἁγνὴ διαμείνασα πάλιν.

Ὅλος ἐν κόλποις, τοῦ Πατρὸς ἐν ὑψίστοις,
ὅλος καὶ κάτω, ἐν γαστρὶ τῆς Μητρός σου,
Χριστὲ Σωτήρ μου, τὸ συναμφοῖν ὑπάρχων·
ὢ τοῦ θαύματος, ὢ ξένου μυστηρίου,
ὢ πλούτου καινοῦ ἀγαθότητος ἄκρας.

Ἵνα ἀνοίξῃ, τὴν οὐράνιον πύλην,
πάλιν ἀνθρώποις, τὴν τὸ πρὶν κεκλεισμένην,
Ἀδὰμ καὶ Εὔας, παρακοῆς τῇ πτώσει·
Σάρκα ἔλαβε, βροτείαν ἐκ Μαρίας,
ὁ Λόγος Θεοῦ προσκυνήσωμεν τοῦτον.

Χαῖρε ἀγάλλου, καὶ ἐν χάριτι σκίρτα,
δῆμος Ἁγίων, Προφητῶν καὶ Δικαίων,
ὑμῶν αἱ ῥήσεις, ἐπακριβῶς τὸ πέρας·
ἄρτι ἔλαβον, καὶ πᾶσα προσδοκία,
ἐλπίδος χρηστῆς, ὁ Χριστὸς γὰρ ἐτέχθη.

Τοῦ Ἁγίου.

Ἔχων λογισμὸν ταῖς θεϊκαῖς, ὑπείκοντα προστάξεσι, καὶ καθαρὸς ὅλος γενόμενος, τὴν μόνην ἐν γυναιξί, καθαρὰν καὶ ἄμωμον, μάκαρ Ἰωσὴφ σὺ ἐμνηστεύσω, τηρῶν Παρθένον ἁγνήν, πρὸς ὑποδοχὴν τοῦ Ποιήσαντος.

Μόνῳ Γαβριὴλ ἐν οὐρανῷ, καὶ μόνῳ σοὶ ἀοίδιμε, μετὰ τὴν μόνην Ἀπειρόγαμον, τὸ μόνον ὑπερβολῇ, φοβερὸν μυστήριον, μάκαρ Ἰωσὴφ ἐνεπιστεύθη, τὸν μόνον φθοροποιόν, ἄρχοντα τοῦ σκότους τροπούμενον.

Ἔμψυχος ναὸς φωτοειδής, ὑπάρχων τοῦ Ποιήσαντος, ἐπιμελείᾳ θείων πράξεων, ἐκ τοῦ ἁγίου Ναοῦ, τὸν Ναὸν τὸν Ἅγιον, σὺ παραλαβεῖν κατηξιώθης, τὴν μόνην γυναιξί, μάκαρ Ἰωσὴφ ἀειπάρθενον.

Θεοτοκίον.

Λύων τοῦ νοός σου προφανῶς, ἐπέστη ὁ ἀόρατος, ἀμφιβολίαν πᾶσαν λέγων σοι· μὴ φοβηθῇς Ἰωσήφ, Μαριὰμ τὴν ἄχραντον, νῦν παραλαβεῖν· γαστρὶ γὰρ φέρει, τὸν φέροντα θεϊκῇ, τούτου δυναστείᾳ τὰ σύμπαντα.

Ἕτερος τοῦ Ἁγίου.

Μάλα ἀγαπήσας Ἰωσήφ, ἐξ ὅλης σου ψυχῆς σοφέ, τὰ τοῦ Κυρίου παραγγέλματα, καὶ ζήλῳ ἐπαινετῷ, ἐργασάμενος ταῦτα, μνήστωρ τῆς ἁγνῆς ἀειπαρθένου, καὶ φύλαξ καὶ κηδεμών. Δόξῃ καὶ τιμῇ ἐχρημάτισας.

Νήπιον τὸν πάντων ποιητήν, χερσί σου Ἰωσὴφ σεπταῖς, ἐνηγκαλίσω καὶ ἐβάστασας, ὅν ἔτεκεν ἡ Ἁγνή, Παναγία Παρθένος, ὅθεν περισσῶς ἐπευλογήθης, καὶ γέγονας θαυμαστῶς. Σκεῦος ἐκλογῆς πανυπέρτιμον.

Δόξα Πατρί.

Ἥλιον ἀνέσπερον Χριστόν, ἰδίοις ὀφθαλμοῖς ἰδών, καὶ τῆς καρδίας ἐκκαθάρας σου, τὰς κόρας τὰς

νοητάς, Ἰωσὴφ ἀποῤῥήτως, ἔγνως τοῦ Θεοῦ τὴν εὐσπλαγχνίαν, καὶ ἔψαλλες ἐκτενῶς. Δόξα τῇ δυνάμει σου, Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Σέβας σοι Ἀγγέλων οἱ χοροί, πρεπόντως Μαριὰμ Ἁγνή, Θεοκυῆτορ ἀπονέμουσι, τοῦ θείου σου τοκετοῦ, ἐκπλαγέντες τὸν τρόπον, Μήτηρ τοῦ Κυρίου γὰρ ἐγένου, καὶ ἔμεινεν ὡς τὸ πρίν. Πάλιν ἡ ἁγνεία σου ἄφθορος.

Καταβασίαι.

Ῥάβδος ἐκ τῆς ῥίζης…

Γένους βροτείου…

Ὠδὴ ε΄. Ὁ εἱρμός.

*«Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε, Φιλάνθρωπε».*

Ἐν δούλοις τῷ Καίσαρος δόγματι, ἀπεγράφης πειθήσας, καὶ δούλους ἡμᾶς ἐχθροῦ καὶ ἁμαρτίας, ἠλευθέρωσας Χριστέ· ὅλον τὸν καθ' ἡμᾶς δὲ πτωχεύσας, καὶ χοϊκόν ἐξ αὐτῆς ἑνώσεως, καὶ κοινωνίας ἐθεούργησας.

Ἰδοὺ ἡ Παρθένος, ὡς πάλαι φησίν, ἐν γαστρὶ συλλαβοῦσα ἐκύησε, Θεὸν ἐνανθρωπήσαντα, καὶ μένει Παρθένος· δι' ἧς καταλλαγέντες, Θεῷ οἱ ἁμαρτωλοί, Θεοτόκον κυρίως οὖσαν, ἐν πίστει ἀνυμνήσωμεν.

Ἕτερος. Ὠδὴ ε΄. Ὁ εἱρμός.

*«Ἐκ νυκτὸς ἔργων, ἐσκοτισμένης πλάνης,*
*ἱλασμὸν ἡμῖν Χριστέ, τοῖς ἐγρηγόρως,*
*νῦν σοι τελοῦσιν ὕμνον, ὡς Εὐεργέτη,*

*ἔλθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον·*
*καθ' ἣν ἀνατρέχοντες, εὕροιμεν κλέος».*

Ῥίζηθὸν πλάνη, ἡ τῶν εἰδώλων εὗρε,
παντελῆ τομὴν Χριστέ, τῇ σῇ γεννήσει,
Κόρης πανάγνου μήτρα, καθαρωτάτη,
ἄνθος προσφέρει, τῆς χρηστῆς εὐωδίας·
ἧς πόθῳ λαμβάνομεν, χάριτας θείας.

Ἱλαρὸς λύχνος, ἐν τῷ Σπηλαίῳ ὤφθη,
ἐκ Φωτὸς τὸ Φῶς Χριστός, ἐξανατείλας,
σκότος ἐσβέσθη πλάνης, τῆς ἀρχεγόνου,
χαῖρε εὐφραίνου, Βηθλεὲμ καὶ ἀγάλλου·
αὐγὴ ἡ ἀνέσπερος, ἔλαμψε πᾶσιν.

Σὺν τρισὶ Μάγοις, δωροφοροῦσι δεῦτε,
τῷ Χριστῷ ὁμοῦ πιστοί, τῷ Γεννηθέντι,
δῶμεν ἀγάπην πίστιν, καὶ τὴν ἐλπίδα,
δῶρα ὡς θεῖα, καθαρᾶς ἐκ καρδίας·
χρηστὴν ὡς ἂν λάβωμεν, εὔνοιαν πλούτου.

Τῷ Χριστῷ δεῦτε, τῷ σαρκωθέντι Λόγῳ
ταῖς χερσὶ Μητρὸς Ἁγνῆς, ἀπειρογάμου,
ὕμνον λατρείαν ἅμα μεγαλωσύνην,
δόξαν καὶ κράτος, Βασιλεῖ ὡς τῶν ὅλων,
τιμὴν καὶ προσκύνησιν, δῶμεν πρεπόντως.

Τοῦ Ἁγίου.

Πραότητι λάμπων, σοφὲ Ἰωσήφ, ἐν τῇ γῇ τῶν πραέων ἐσκήνωσας, Χριστοῦ τοῦ πράου ῥήματι, Πατὴρ ὀνομασθείς· ὃν ἐν ταῖς σαῖς ἀγκάλαις, κρατήσας ἡγιάσθης, καὶ ἰδὼν ἐδοξάσθης, σάρκα βροτίαν περικείμενον.

Ὡς θείαν Νεφέλην, τὴν μόνην Ἁγνήν, ἐν τοῖς κόλποις τὸν Ἥλιον κρύπτουσαν, εἰς Αἴγυπτον μετήγαγες, ἐκ πόλεως Δαυΐδ, τὸ ταύτης λῦσαι σκότος, τῆς εἰδωλομανίας, Ἰωσὴφ μυστηρίου, ὑπὲρ κατάληψιν διάκονε.

Δίκαιος ὑπάρχων, δικαίαις ὁδοῖς, τοῦ δικαίου Δεσπότου πεπόρευσαι, τοῦ κρίναντος δικαίως σε, τοιούτῳ φοβερῷ, παμμάκαρ μυστηρίῳ, πιστῶς καθυπουργῆσαι, τῆς ἀῤῥήτου λοχείας, δι᾽ ἧς βροτοὶ ἐδικαιώθημεν.

Θεοτοκίον.

Εὑρέθη ὡς ἔφη, Προφήτης Δαυΐδ, ἐν γαστρὶ ἡ Παρθένος χωρήσασα, τὸν φύσει ἀπερίγραπτον, Θεὸν Ἐμμανουήλ· ὅπερ μὴ ἐννοήσας, ὁ θεῖος ἐδιδάχθη, Ἰωσὴφ ὑπ᾽ Ἀγγέλου, νυκτὶ καθεύδων ὁ ἀοίδιμος.

Ἕτερος τοῦ Ἁγίου.

Τὴν τέχνην ἀσκήσας, καλῶς Ἰωσήφ, τὴν τοῦ τέκτονος ἔσχες τὰ κρείττονα, τιμίως ἐργαζόμενος, ἐν βίῳ σου παντί· ἔνθεν καὶ ἐπορίζου, τοῦ ζῆν τὰ ἀναγκαῖα, καὶ ἡμῖν παρέδωκας, σαυτὸν ὡς ἔμψυχον ὑπόδειγμα.

Ὁλόθυμον αἶνον, τῷ πάντων Θεῷ, Ἰωσὴφ θεοῤῥῆμον προσέφερες, ὡς μνήστωρ τῆς Θεόπαιδος, Παρθένου Μαριάμ· ἔγνως γὰρ τῆς σοφίας, Αὐτοῦ τὰ μεγαλεῖα, ὡς υἱὸς τῆς χάριτος, καὶ τῆς λαμπρότητος, συμμέτοχος.

Δόξα Πατρί.

Ῥαθύμων οὐκ ἔγνως, τὸν ὄκνον σοφέ, Ἰωσὴφ ἀλλ᾽ ἀγρύπνοις δεήσεσιν, ἐκ πόθου τῷ Κυρίῳ σου, ὡμίλεις ἐκτενῶς· ἔγνως γὰρ ἐκ Μαρίας, Ἁγνῆς ἣν ἐμνηστεύθης, τοῦ Θεοῦ τὴν ἄφατον, μακροθυμίαν καὶ χρηστότητα.

Καὶ νῦν. Θεοτοκίον.

Ἁγνὴ πρὸ τοῦ τόκου, ἐν τόκῳ ἁγνή, καὶ μετὰ τὴν λοχείαν ἀμόλυντος, καὶ ἄφθορος παρέμεινας, Παρθένε Μαριάμ· ὅπου Θεὸς γὰρ θέλει, τῆς φύσεως οἱ νόμοι, καταργοῦνται πάραυτα, Οὗτος ἐστὶ γὰρ παντοδύναμος.

Καταβασίαι.

Θεὸς ὢν εἰρήνης...

Ἐκ νυκτὸς ἔργων...

Ὠδὴ στ´. Ὁ εἱρμός.

*«Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν, κατέσχεν ἀπήμαντον».*

Ἦλθε σαρκωθείς, Χριστὸς ὁ Θεὸς ἡμῶν, γαστρὸς ὃν Πατήρ, πρὸ Ἑωσφόρου γεννᾷ· τὰς ἡνίας δέ, ὁ κρατῶν τῶν ἀχράντων Δυνάμεων, ἐν φάτνῃ, τῶν ἀλόγων ἀνακλίνεται· ῥάκει, σπαργανοῦται λύει δέ, πολυπλόκους σειρὰς παραπτώσεων.

Νέον ἐξ Ἀδάμ, παιδίον φυράματος, ἐτέχθη Υἱός, καὶ πιστοῖς δέδοται· τοῦ δὲ μέλλοντος οὗτός ἐστιν αἰῶνος, Πατὴρ καὶ ἄρχων, καὶ καλεῖται, τῆς μεγάλης Βουλῆς Ἄγγελος· οὗτος, ἰσχυρὸς Θεός ἐστι, καὶ κρατῶν ἐξουσίᾳ τῆς κτίσεως.

Ἕτερος. Ὠδὴ στ´. Ὁ εἱρμός.

*«Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις*
*ἐλθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέσαι.*
*Νυγεὶς ἐγὼ δέ, τῷ τυραννοῦντος βέλει,*
*Χριστὲ προσαυδῶ, τὸν κακῶν ἀναιρέτην,*
*Θᾶττον μολεῖν σε, τῆς ἐμῆς ῥαθυμίας».*

Ὅστις εὐσεβής, εὐλαβῶς προσελθέτω,
Ἰδεῖν ἐν φάτνῃ, ἀλόγων τὸν Δεσπότην.
Ἡμᾶς τοὺς πάθει, τῆς ἀλογίας ὄντας,
ὡς ἂν κοινωνούς, τῆς Αὐτοῦ Βασιλείας,
δόξης μετόχους, εὐχερῶς καταστήσῃ.

Ζάλῳ τῶν κακῶν, δυσχερῶς ἐδονοῦντο,
τοῖς πρὶν ἐν χρόνοις, καρδίαι τῶν ἀνθρώπων.
Χριστὸς ἐκ Κόρης, ἀπειρογάμου αὖθις,
Ἐν γῇ γεννηθείς, τὴν καλὴν προσδοκίαν,
δρόσον εἰρήνης, ταῖς ψυχαῖς ἐπιφέρει.

Εὔα τοῦ καρποῦ, τῆς Ἐδὲμ μετασχοῦσα,
πικρὰν τὴν γεῦσιν, παρέσχεν ἀπογόνοις.
Γλυκὺν καρπὸν δέ, ἐν παραδείσῳ πάλιν,
Ἡμᾶς ὁ Χριστός, προσκαλεῖ τοῦ γνωρίσαι,
δεῦτε γευθῶμεν, ποθεινῆς χορηγίας.

Ταύτην τὴν φαιδράν, ἑορτὴν ὑπαντῶντες,
Χριστοῦ Δεσπότου, ἐν φάτνῃ Γεννηθέντος.
ᾠδὰς καὶ ὕμνους, μεγαλοφώνως δεῦτε,
Αὐτῷ οἱ λαοί, σὺν χοροῖς τῶν Δικαίων,
χεῖρας κροτοῦντες, ἐν χαρᾷ συναχθῶμεν.

Τοῦ Ἁγίου.

Ξένῳ τοκετῷ, ἐκ Κόρης θεόπαιδος, τοῖς ξένοις ἡμῖν, ἐπιδημήσαντα, τὸν ἀΐδιον, τοῦ Πατρὸς Θεὸν Λόγον λαβὼν Ἰωσήφ, τὴν πρὸς Αἴγυπτον, παμμάκαρ ξένην κάθοδον, χαίρων, σὺν αὐτῷ πεποίησαι, καθυπείκων τοῖς θείοις προστάγμασιν.

Ἵστασο Θεῷ, σαρκὶ νηπιάσαντι, σοφὲ Ἰωσήφ, διακονούμενος, ὥσπερ Ἄγγελος· καὶ ἀμέσως πρὸς τούτου ηὐγάσθης σαφῶς, τὰς ἀκτῖνας, τὰς ἀΰλους εἰσδεχόμενος, μάκαρ, καὶ φωτοειδέστατος, καὶ ψυχῇ καὶ καρδίᾳ δεικνύμενος.

Ὅλος ἐπαφῇ, τῇ θείᾳ πανεύφημε, καθαγιασθείς, ψυχῇ καὶ σώματι, μεταβέβηκας, πρὸς ἀΰλους μονὰς ἁγιάζων νυνί, τοὺς τελοῦντάς σου τὴν μνήμην Δίκαιε, ὄντως, Ἰωσὴφ πανάγιε, Παναγίας μνηστὴρ Θεομήτορος.

Θεοτοκίον.

Νέον ἐπὶ γῆς, παιδίον ἑώρακας, Παρθένου ἁγνῆς ἀποτικτόμενον, τὸν προτέλειον, καὶ πρὸ πάντων αἰώνων ἐκφύντα Πατρός· καὶ Ἀγγέλων, ἀνυμνούντων τοῦτον ἤκουσας, ἔνδον, τοῦ σπηλαίου κείμενον, Ἰωσὴφ ἐπὶ φάτνης πανεύφημε.

Ἕτερος τοῦ Ἁγίου.

Ὕφανας σαυτῷ, ἄφθαρτον ἱμάτιον, προπάτορ Χριστοῦ, μὴ παλαιούμενον· τὴν ἐγκράτειαν, Ἰωσὴφ γὰρ ἠγάπας νεκρώσας σαρκός, τὰ χαμαίζηλα φρονήματα καὶ ἔσχηκας· γνώμην, ἀγαθὴν καὶ σώφρονα, τῶν δικαίων, κοσμήσας τὰ τάγματα.

Μνῆστορ ἱερέ, ἄνερ τιμιώτατε, καλῶν ἐραστά, ἄμεμπτε δίκαιε· εὐσεβέστατε, Ἰωσὴφ τὴν Παρθένον Μαρίαν λαβών, τοῦ φυλάξασθαι ὡς κόρην τῶν ὀμμάτων σου· ταύτῃ, συνῳδὰ πρὸς Κύριον, τὰς ἐντεύξεις, ποιεῖσθε δεόμεθα.

Δόξα Πατρί.

Νᾶπαι καὶ βουνοί, ὄρη καὶ αἱ θάλασσαι, σκιρτήσατε νῦν, πᾶσα ἡ κτίσις τε· συνεόρτασον, Ἰωσὴφ γὰρ ὁ μνήστωρ ἡμᾶς συγκαλεῖ, εἰς χαρμόσυνον ἡμέραν ἑστιάσεως· τούτου, μεγαλύναι σήμερον, τὴν ἀοίδιμον, μνήμην καὶ πάνσεπτον.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλον τὸν Θεόν, ἔσχηκας ἐν μήτρᾳ σου, Παρθένε Ἁγνή, ἄνευ συλλήψεως· ὅθεν γέγονας, τῆς ἀστέκτου οὐσίας, χωρίον λαμπρόν, καὶ παλάτιον τῆς δόξης χρυσοπόρφυρον· τάξεις, οὖν Ἀγγέλων σέβας σοι, ἐξαιρέτως, προσφέρουσι Δέσποινα.

## Καταβασίαι.

Σπλάγχνων Ἰωνᾶν...

Ναίων Ἰωνᾶς...

## Κοντάκιον. Ἦχος γ΄. Αὐτόμελον. Τῆς Ἑορτῆς. Ποίημα Ῥωμανοῦ τοῦ Μελῳδοῦ.

Ἡ Παρθένος σήμερον, τὸν Ὑπερούσιον τίκτει, καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι, μετὰ Ποιμένων δοξολογοῦσι. Μάγοι δέ, μετὰ ἀστέρος ὁδοιποροῦσι· δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

## Εἶτα τοῦ Ἁγίου. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῶν προπατόρων τοῦ Χριστοῦ τὴν ἐπισφράγησιν, καὶ τῶν Δικαίων τοῦ χοροῦ τὸ σεμνολόγημα, τὸν τοῦ νόμου καὶ τῆς χάριτος ὑπηρέτην. Τὸν συνέσεως τῷ κάλλει εὐκοσμούμενον, Ἰωσὴφ τὸν θεῖον μνήστορα τιμήσωμεν, Τούτῳ ᾄδοντες· **χαίροις πάτερ ἀοίδιμε.**

## Ὁ Οἶκος.

Ἄσμασί σε τιμῶμεν, Ἰωσὴφ θεοφάντορ, καὶ μνῆστορ τῆς Παρθένου Μαρίας· καὶ ἀξίως μακαρίζοντες τὴν δόξαν σου, καὶ τὴν θείαν σου θαυμάζοντες εὐπρέπειαν, βοῶμέν σοι ἀκαταπαύστως οὕτως·

Χαίροις ὁ λύχνος τῆς εὐσεβείας·
Χαίροις ἡ βάσις τῆς ἀληθείας.

Χαίροις Διαθήκης νέας ἡ λαμπρὰ ἀνατολή·
Χαίροις Χάριτος ὡσαύτως ἡ ὁλόφωτος στολή.

Χαίροις κρίνον ἀποπνέον ἀρετῶν τὴν εὐωδίαν·
Χαίροις δένδρον ἐπιφέρον τὴν καλλίστην εὐκαρπίαν.

Χαίροις ἡ Προπατόρων σεβασμία κατακλείς·
Χαίροις τῶν δικαίων δόξα, καὶ πατέρων ἡ σφραγίς.

Χαίροις μνῆστορ τῆς Παρθένου Παναγίας Θεοτόκου· Χαίροις φύλαξ τοῦ ἐκ ταύτης νηπιάσαντος Δεσπότου.

Χαίροις πλοῦτε σωφροσύνης, σκεῦος θείας ἐκλογῆς· Χαίροις γνώσεως ταμεῖον, θησαυρὸς ἐν ἐκλεκτοῖς.

**Χαίροις Πάτερ ἀοίδιμε.**

Συναξάριον.

Τῇ 26ῃ τοῦ Δεκεμβρίου μηνός, Σύναξιν ποιούμεθα πρὸς τιμὴν τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῆς ἐν Σπηλαίῳ τεκούσης ἀπειράνδρως τὸν Βασιλέα τῶν ὅλων Κύριον Ἰησοῦν Χριστόν. Ἔτι δὲ καὶ τοῦ μνήστορος ταύτης, Δικαίου Ἰωσὴφ τοῦ Προπάτορος.

Στίχοι.

Δίκαιον Προπάτορα μνήστορα τῆς Παρθένου,
Ἰωσὴφ τὸν σώφρονα τιμήσωμεν πρεπόντως.

Χριστοῦ τὴν θείαν Γέννησιν ἐν τῷ Σπηλαίῳ εἶδες,
ἐκ τῆς Παρθένου Ἰωσήφ, ἣν ἐμνηστεύθης μάκαρ.

Εἰκάδι ἕκτῃ Ἰωσὴφ τιμάσθω μοι ὁ μνήστωρ,
τίμιος καὶ γὰρ ἐστὶ ἐνώπιον Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Εὐθυμίου, Ἐπισκόπου Σάρδεων τοῦ Ὁμολογητοῦ.

Στίχοι.

Χριστῷ παραστάς, Εὐθύμιε τρισμάκαρ.
Πλήρης ἀλήκτου τυγχάνεις εὐθυμίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κωνσταντίνου τοῦ ἐξ Ἰουδαίων.

Στίχοι.

Ὡς ἐξ ἀκανθῶν τῶν Ἰουδαίων ῥόδον,
ὁ θεῖος ἀνθεῖ καὶ θανών, Κωνσταντῖνος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρός Εὐαρέστου.

Στίχοι.

Ἔσπευδεν Εὐάρεστος ἔργῳ καὶ λόγῳ,
ἕως τελευτῆς εὐαρεστεῖν σοι Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου νέου ἱερομάρτυρος Κωνσταντίου τοῦ Ῥώσσου, ἀθλήσαντος ἐν Κωνσταντινουπόλει κατὰ τὸ 1743 ἔτος.

Στίχοι.

Βάλεις τὸν ἐχθρόν, ὃς σὲ βέβληκε πάλαι,
Κωνστάντιε, σὺ καὶ λαμβάνεις βραβεῖον.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, τοῦ Μνήστορος Ἰωσὴφ καὶ πάντων τῶν ἁγίων Χριστὲ ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ εἱρμός.

«*Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ*».

Ποιμένες ἀγραυλοῦντες, ἐκπλαγοῦς φωτοφανείας ἔτυχον· δόξα Κυρίου γὰρ αὐτοὺς περιέλαμψε καὶ Ἄγγελος, ἀνυμνήσατε βοῶν, ὅτι ἐτέχθη Χριστός· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἐξαίφνης σὺν τῷ λόγῳ τοῦ Ἀγγέλου, οὐρανῶν στρατεύματα, δόξα ἐκραύγαζον Θεῷ, ἐν ὑψίστοις ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, Χριστὸς ἔλαμψεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ῥῆμα τί τοῦτο; εἶπον οἱ Ποιμένες· διελθόντες ἴδωμεν τὸ γεγονός, θεῖον Χριστόν· Βηθλεὲμ καταλαβόντες δέ, σὺν τῇ τεκούσῃ προσεκύνουν ἀναμέλποντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἕτερος. Ὠδὴ ζ´. Ὁ εἱρμός.

*«Τῷ παντάνακτος, ἐξεφαύλισαν πόθῳ,
ἄπλητα θυμαίνοντος, ἠγκιστρωμένοι
Παῖδες τυράννου, δύσθεον γλωσσαλγίαν·
οἷς εἴκαθε πῦρ, ἄσπετον τῷ Δεσπότῃ,
λέγουσιν· Εἰς αἰῶνας, εὐλογητὸς εἶ».*

Εὐτελέστατον, καὶ πτωχότατον τόπον,
Δέσποτα καὶ Κύριε, τῆς οἰκουμένης,
ἔσχες ὡς θρόνον, ὅτε Σε ἡ Παρθένος·
Ἁγνῆς ἐκ γαστρός, ἔτεκε παραδόξως,
πλούσιε· ἐν ἐλέει, καὶ εὐσπλαγχνίᾳ.

Χαριστήριον, Σοὶ προσφέρομεν αἶνον,
χείλεσιν εὐγνώμοσιν, ὦ Εὐεργέτα,
δόξα βοῶντες, πρέπει σοι εἰς αἰῶνας·
καὶ πᾶσα τιμή, αἴνεσις καὶ λατρεία,
Κύριος· Οἰκουμένης, καὶ γὰρ ὑπάρχεις.

Θηριότροπον, καὶ ἀμείλικτον θράσος,
ἔδειξεν ὁ ἄνομος, δεινὸς Ἡρώδης,
κάρας νηπίων, ξίφεσι ἀποκόψας·
εἰς Αἴγυπτον δέ, ἔφυγες σὺν Μητρί σου,
Κύριε· τοῦ Ἀγγέλου, τῇ ὑποδείξει.

Ἡλιόμορφον, καὶ ἀπρόσιτον κάλλος,
ἄσβεστον οὐράνιον, ἠγλαϊσμένον,
ἔνδον σπηλαίου, ἔλαμψε Φωτοδότα·
καὶ πᾶσι τὸ φῶς, δίδωσι τοῖς ἐν σκότει,
λύει δέ· ἁμαρτίας, τὴν ἀκοσμίαν.

Τοῦ Ἁγίου.

Προῤῥήσεων τὸ πέρας τῶν ἐνθέων, Προφητῶν ἑώρακας· ὃν γὰρ ἐκήρυξαν Χριστόν, ἐλευσόμενον ἐκ Κόρης ἁγνῆς, ἐψηλάφησας καὶ βρέφος κατενόησας, ὡς καθαρὸς τήν ψυχήν, Χριστοῦ θεράπον.

www.tezaurliturgic.ro

Ἀμέμπτῳ πολιτείᾳ Ἰωσήφ, κεκοσμημένος ἔνδοξε, φύλαξ ἀμέμπτου ἀληθοῦς, παρθενίας ἐχρημάτισας, καὶ Πατὴρ τοῦ τικτομένου Παιδὸς κέκλησαι, μεγαλυνθεὶς τῇ σεπτῇ προσηγορίᾳ.

Ῥήμαται ὁ τεκταίνων οὐρανόν, καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, κέκληται τέκτονος Υἱός, σοῦ παμμάκαρ ἀξιάγαστε, τοῦ ἀνάρχου σε Πατρὸς ὄντως δοξάσαντος, ὡς ἱερόν ὑπουργὸν τῶν ὑπὲρ λόγον.

Ἁγίως σου τὸν βίον διανύσας, Ἰωσὴφ πανάριστε, ἐν ταῖς λαμπρότητι νυνί, τῶν Ἁγίων κατεσκήνωσας, ἁγιάζων τοὺς πιστῶς τὴν παναγίαν σου, ἐκτελοῦντας ἀεὶ καὶ θείαν μνήμην.

Θεοτοκίον.

Συμβόλοις ἱεροῖς σε τυπουμένην, Ἰωσὴφ ὁ δίκαιος Θεοχαρίτωτε ἁγνή, ἐγνωκὼς ῥάβδῳ κληροῦταί σου, τὴν μνηστείαν τὴν σεπτήν, ἐπιμνησθεὶς Ἀαρών, τῆς βλαστησάσης ποτὲ ἁγίας ῥάβδου.

Ἕτερος τοῦ Ἁγίου.

Λαόν σου τὸν τιμῶντά σε προφρόνως, ἐκ κακῶν συγχύσεως ἀπελευθέρωσον, ταῖς σαῖς πρὸς Θεὸν τὸν ὑπεράγαθον, ὦ Προπάτορ Ἰωσήφ, θερμαῖς δεήσεσι· τῆς Θεοτόκου ὡς μνήστωρ καὶ προστάτης.

Ὁ λύχνος Ἰωσὴφ τῶν Προπατόρων, ὁ ἰδὼν τὴν ἔλευσιν τὴν πανευφρόσυνον, Χριστοῦ τοῦ Θεοῦ ἣν προκατήγγειλαν, αἱ φωναὶ τῶν προφητῶν, συμφώνως σήμερον· ἐν ἐκκλησίαις πιστῶν ἀνευφημείσθω.

Δόξα Πατρί.

Γνωρίσας τὴν Παρθένον Θεοτόκον, ὡς ἁγνὴν καὶ ἄσπιλον καὶ παναμώμητον, σεμνὲ Ἰωσὴφ αὐτὴν παρέλαβες, καὶ μεμνήστευσαι αὐτήν, Θεοῦ προστάγματι· ὡς ὑπηρέτης πιστὸς ἐν εὐλογίαις.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς οὖσα Σεραφὶμ τιμιωτέρα, οὐρανοῦ δυνάμεων ἐνδοξοτέρα τε, Ἁγνὴ Μαριὰμ Θεοχαρίτωτε, ἐξαιρέτως σοι ᾠδάς, καὶ ὕμνους ψάλλομεν· σὺν τῷ Ἀγγέλῳ τὸ χαῖρε ἐκβοῶντες.

Καταβασίαι.

Οἱ Παῖδες εὐσεβείᾳ...

Τῷ παντάνακτος...

Ὠδὴ η΄. Ὁ εἱρμός.

*«Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας».*

Ἕλκει Βαβυλῶνος ἡ Θυγάτηρ παῖδας, δορυκτήτους Δαυῒδ ἐκ Σιών· ἐν αὐτῇ, δωροφόρους πέμπει δέ, Μάγους παῖδας, τὴν τοῦ Δαυῒδ θεοδόχον Θυγατέρα λιτανεύσοντας· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς· οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιών. Βαβυλῶνος λύει δέ, πλάνην πᾶσαν καὶ μουσικῶν, ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς Βασιλίδος Σιών, καὶ δορύκτητον ὄλβον ἐδέξατο· θησαυροὺς Χριστὸς ἐν Σιὼν δὲ ταύτης, καὶ βασιλεῖς σὺν ἀστέρι ὁδηγῷ, ἀστροπολοῦντας ἕλκει· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις

πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. Ὠδὴ η΄. Ὁ εἱρμός.

*«Μήτραν ἀφλέκτως, εἰκονίζουσι Κόρης,*
*οἱ τῆς παλαιᾶς, πυρπολούμενοι Νέοι,*
*ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην.*
*Ἄμφω δὲ δρῶσα, θαυματουργίᾳ μιᾷ,*
*λαοὺς πρὸς ὕμνον, ἐξανίστησι χάρις».*

Ἴχνη τῶν Μάγων, ἠκολούθει ἐξ ὕψους,
εὔγνωστος ἀστήρ, καὶ ἐδείκνυ τὴν τρίβον,
πρὸς Βηθλεὲμ ἄγουσαν, τὴν θείαν Πόλιν.
Ἔνθα ἐτέχθη, ἐξ ἀπειράνδρου Μητρός,
Χριστὸς ὃν οὗτοι, προσκεκύνησαν πίστει.

Γέλας ἡλίου, ὑπερβαίνει ἡ δόξα,
Σοῦ ἡ παμφαής, Ὑπερένδοξε Λόγε,
τὸ ἱλαρὸν κάλλος σου, ὑπερεκπλήττει.
Τάξεις Ἀγγέλων, τῶν μελῳδούντων ὁμοῦ,
ἐν γῇ εἰρήνῃ, ὡσαννὰ ἐν ὑψίστοις.

Ἴδε Παρθένον, ἐν ἀγκάλαις, ὡς βρέφος,
φέρουσαν Χριστόν, νηπιάσαντα Λόγον,
τὰ Χερουβὶμ αὕτη γάρ, τιμῇ καὶ δόξῃ.
Καθυπερβαίνει, καὶ τὰ φρικτὰ Σεραφίμ,
μεθ᾽ ὧν πρεσβεύει, τῷ τῶν ὅλων Δεσπότῃ.

Δῶρα οἱ Μάγοι, Σοὶ προσέφερον Λόγε,
δόκιμον χρυσόν, σὺν λιβάνῳ καὶ σμύρναν,
ὡς Βασιλεῖ ἅμα τε, Θεῷ τῶν ὅλων.
Πρέπει σοι δόξα, καὶ τῆς λατρείας τιμή,
ᾠδαὶ καὶ ὕμνοι, καὶ προσκύνησις Σῶτερ.

Τοῦ Ἁγίου.

Τίμιος ὡς ἀληθῶς ὁ θάνατός σου, κατενώπιον ὤφθη Κυρίου, Ἰωσὴφ πανόλβιε· σὺ γὰρ ὅλως ὁσιωθείς,

ἀπὸ βρέφους ἱερὸς φύλαξ γεγένησαι, τῆς Εὐλογημένης· μεθ' ἧς ἔμελπες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἅπαντες χοροὶ τῶν Ἀσωμάτων, ὅν περ τρέμουσι Θεὸν καὶ Κτίστην, Ἰωσὴφ ὁ δίκαιος, παῤῥησίᾳ πανευλαβῶς, περιπτύσσεται ὡς βρέφος καὶ ἀσπάζεται, καὶ φῶς νοητόν βοῶν κομίζεται· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Τέτρωσαι τῷ γλυκυτάτῳ μάκαρ πόθῳ, καὶ ὡς Ἄγγελος τῷ σαρκωθέντι, παρεστὼς προστάξεσι, καθυπείκεις ταῖς θεϊκαῖς, δι' Ἀγγέλου ἐξ Αἰγύπτου μηνυόμενος, πρὸς γῆν Ἰσραὴλ ἐπανελεύσασθαι, μετ' αὐτοῦ τοῦ Παιδίου καὶ τῆς Μητρὸς αὐτοῦ· οἷς συνεπανῆλθες, τὸν Κύριον δοξάζων.

Θεοτοκίον.

Νόμου τὰς σκιὰς εἶδες λυθείσας, τῇ τῆς χάριτος φωτοχυσίᾳ· φωτεινὴν νεφέλην τε τὴν Παρθένον, τὸν νοητὸν ἀνατέλλουσαν σαρκί, Ἥλιον ἔβλεψας, καὶ ὥσπερ ἀστὴρ πάντας ἐφώτισας, τοὺς βοῶντας σοφὲ Ἰωσὴφ ἑκάστοτε· Σὲ ὑπερυψοῦμεν, Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἕτερος τοῦ Ἁγίου.

Ἴδωμεν τοῦ Ἰωσὴφ τὰ μεγαλεῖα, πῶς τὴν ἄσπιλον ἔφερε Κόρην· ἔχων γὰρ ἀδίστακτον πίστιν οὗτος, ἐκ Βηθλεὲμ εἰς τὴν Αἴγυπτον, ἀνέλαβε τὴν θείαν φυγήν· φωνὴν τοῦ Ἀγγέλου γὰρ ἀκήκοε· ὁ Ἡρῴδης φονεῦσαι θέλει τὰ νήπια, ὅπως ἀναιρέσῃ, Χριστὸν τὸν Βασιλέα.

Σέμνωμα τῶν εὐκλεῶν Προπατόρων, τῶν δικαίων τε ἔπαινος μέγας· στέφος τε ὑπέρτιμον τῆς ἐκκλησίας, ὦ Ἰωσὴφ ἀναδέδειξαι, καὶ μνῆστορ τῆς Παρθένου Ἁγνῆς. Αὐτήν ἐξ ἁγίων γὰρ παρέλαβες· εὐπειθήσας τοῖς θείοις μάκαρ προστάγμασι, καὶ ὑπηρετήσας, τοῖς θείοις μεγαλείοις.

Δόξα Πατρί.

Ἵλεων πρεσβευτικῇ σου εὐμενείᾳ, τὸν Φιλάνθρωπον Κύριον πάντων· ποίησον δεόμεθα θεῖε μνῆστορ, ὦ Ἰωσὴφ θεοδόξαστε, ὑπάρχεις γὰρ προπάτωρ Αὐτοῦ· διὸ τῶν τιμώντων σε μνημόνευσον· εὐφημούντων τὴν θείαν σήμερον μνήμην σου, καὶ ὑπερυψούντων, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Δάκρυα ὀδυνηρὰ τῶν πρωτοπλάστων, καὶ θανάτου πικρία καὶ λύπη· χάριν εἰς εὐφρόσυνον πλήρη δόξης, καὶ χαρμονῆς μετετράπησαν, Παρθένε Θεοτόκε Ἁγνή· σὺ γὰρ τὸν Σωτῆρα ἀπεκύησας· τὸν διδόντα πταισμάτων πᾶσι συγχώρησιν, καὶ τῆς αἰωνίου, ζωῆς τὴν Βασιλείαν.

Καταβασίαι.
Θαύματος ὑπερφυοῦς...
Μήτραν ἀφλέκτως...

Ὠδὴ θ΄. Ὁ εἱρμός. Μεγαλυνάρια.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν,
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

*«Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον! οὐρανὸν τὸ σπήλαιον· θρόνον Χερουβικόν, τὴν Παρθένον· τὴν φάτνην χωρίον· ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν».*

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ Σπηλαίῳ,
τεχθέντα Βασιλέα.

Μυστήριον ξένον...

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ Ἀστέρος,
τοῖς Μάγοις μηνυθέντα.

Ἐξαίσιον δρόμον, ὁρῶντες οἱ Μάγοι, ἀσυνήθους νέου ἀστέρος ἀρτιφαοῦς, οὐρανίου ὑπερλάμποντος,

Χριστὸν Βασιλέα ἐτεκμήραντο, ἐν γῇ γεννηθέντα Βηθλεέμ, εἰς σωτηρίαν ἡμῶν.

Μεγάλυνον ψυχή μου, τὴν ἁγνὴν Παρθένον,
τὴν γεννησαμένην, Χριστὸν τὸν Βασιλέα.

Νεηγενές, Μάγων λεγόντων, παιδίον Ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν; εἰς γὰρ ἐκείνου προσκύνησιν ἥκομεν· μανεὶς ὁ Ἡρῴδης ἐταράττετο, Χριστὸν ἀνελεῖν, ὁ θεομάχος φρυαττόμενος.

Μάγοι καὶ Ποιμένες, ἦλθον προσκυνῆσαι, Χριστὸν τὸν
γεννηθέντα, ἐν Βηθλεὲμ τῇ πόλει.

Ἠκρίβωσε χρόνον, Ἡρῴδης ἀστέρος, οὗ ταῖς ἡγεσίαις οἱ Μάγοι ἐν Βηθλεὲμ προσκυνοῦσι Χριστῷ σὺν δώροις· ὑφ᾽ οὗ πρὸς Πατρίδα ὁδηγούμενοι, δεινὸν παιδοκτόνον, ἐγκατέλιπον παιζόμενον.

Ἕτερος. Ὠδὴ θ΄. Ὁ εἱρμός. Μεγαλυνάρια.

Στίχ. Σήμερον πᾶσα κτίσις, ἀγάλλεται καὶ χαίρει,
ὅτι Χριστὸς ἐτέχθη, ἐκ τῆς Παρθένου Κόρης.

*«Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ
ῥᾷον σιωπῇ· τῷ πόθῳ δὲ Παρθένε
ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους,
ἐργῶδές ἐστιν· ἀλλὰ καὶ Μήτηρ σθένος,
ὅση πέφυκεν, ἡ προαίρεσις δίδου».*

Στίχ. Σήμερον ὁ Δεσπότης, ῥάκει σπαργανοῦται,
ὁ ἀναφὴς ὡς βρέφος.

Ὡς ἐν οὐρανῷ, τῶν Ἀγγέλων αἱ τάξεις,
ὕμνον τῷ Θεῷ· συμφώνως ἐμελῴδουν,
ἔνδον Σπηλαίου, καὶ Φάτνης γεννηθέντι,
Παρθένου Ἁγνῆς· γαστὴρ γὰρ τοῦτον ἔσχεν,
θαῦμα ἄφραστον, ὑπερβαῖνον τὴν φύσιν.

Στίχ. Οὐράνιαι Δυνάμεις, τεχθέντα τὸν Σωτῆρα,
Κύριον καὶ Δεσπότην, μηνύουσι τῷ κόσμῳ.

Ῥόδον τῆς Ἐδέμ, παρθενόφυτον πέλεις,
ἄφθορε ἁγνή· Μαρία Θεοτόκε,
σπίλον οὐκ ἔσχες, οὐδόλως ἁμαρτίας,
οὐ μῶμος ἐν σοί· οὐδὲ κηλῖδος ῥύπος
ὅθεν ἔλαβες, εὐλογίας τὴν χάριν.

Στίχ. Σήμερον οἱ Ποιμένες, βλέπουσι τὸν Σωτῆρα,
σπαργάνοις εἰλημένον, καὶ κείμενον ἐν Φάτνῃ.

Ἅγιος χορός, Προφητῶν καὶ Δικαίων,
χαίρει ἐπὶ σοί· Παρθένε Παναγία,
ῥήσεις γὰρ τούτων, τῆς θείας προσδοκίας,
ἐλπίδι χρηστῇ· σαφῶς τὸ πέρας εὗρον,
ὅτι ἔτεκες· τὸν Θεάνθρωπον Λόγον.

Στίχ. Σήμερον ὁ Δεσπότης, τίκτεται ὡς βρέφος,
ὑπὸ Μητρὸς Παρθένου.

Σέβω προσκυνῶ, μεγαλύνω δοξάζω,
σοῦ τὰ θαυμαστά· καὶ ξένα μεγαλεῖα,
ἔσχες χερσί σου, τὸν πάντων Βασιλέα,
ὡς θρόνος Αὐτοῦ· διὸ εἰς θεῖον ὕψος,
ἄγεις πάναγνε, τοὺς εἰς χάος πεσόντας.

Τοῦ Ἁγίου.

Μεγάλυνον ψυχήν μου Ἰωσὴφ τὸν θεῖον,
φύλακα καὶ προστάτην Μαρίας τῆς Παρθένου.

Ἰσότιμος πάντων, Ἀγγέλων γεγένησαι, Προφητῶν Μαρτύρων τε, μάκαρ καὶ τῶν σοφῶν Ἀποστόλων, συνόμιλος ὄντως· διὸ σὺν αὐτοῖς σὲ μακαρίζων ἀεί, Ἰωσὴφ τὴν ἱεράν σου μνήμην σέβομαι.

Μεγάλυνον ψυχήν μου τὸν χρηματισθέντα κατ᾽ ὄναρ
ὑπ' Ἀγγέλου καὶ ἀποδεχθέντα τὸ θέλημα τὸ θεῖον.

Ὡς ἐκ γένους, βασιλικοῦ καταγόμενος, τὴν ἁγνὴν Βασίλισσαν, μέλλουσαν Ἰησοῦν Βασιλέα, τίκτειν ἀποῤῥήτως, σοφὲ ἐμνηστεύσω ὑπὲρ ἅπαντας, ἐν γῇ προκριθείς, τοὺς γηγενεῖς μακαριώτατε.

Μεγάλυνον ψυχήν μου τὸν Μνήστορα Παρθένου
ὡς μετὰ τοῦ θείου βρέφους εἰς Αἴγυπτον μετοῖκεν.

Σθενούμενος, τῇ δυναστείᾳ τοῦ Πνεύματος, ἀρεταῖς κεκόσμησαι, μάκαρ ἐν βαθυτάτῳ τε γήρᾳ, πρὸς τοὺς σοὺς μετέβης, λαμπρῶς Ἰωσὴφ πατέρας μέγιστος, πατὴρ νομισθείς, τοῦ ἐκ Θεοῦ Πατρὸς ἐκλάμψαντος.

Ἰωσὴφ ὁ θεῖος μετὰ Παρθένου Κόρης
εἰς χεῖρας τοῦ Πρεσβύτου τὸν Ἰησοῦν προσῆγον.

Ἡ μνήμη σου, πρὸς εὐφροσύνην τὰ πέρατα, συγκαλεῖ καὶ αἴνεσιν, Λόγου τοῦ σὲ δοξάσαντος μάκαρ· ᾧ σὺν παῤῥησίᾳ, Χριστῷ παρεστὼς ἀπαύστως πρέσβευε, ἡμᾶς λυτρωθῆναι, πειρασμῶν τοὺς εὐφημοῦντάς σε.

Μεγάλυνον ψυχήν μου ἁγνὴ Παρθένον Κόρην κυήσασα
ἀφθόρως τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν Ζωοδότην.

Θεοτοκίον .

Φυλάττουσαν, τὴν παρθενίαν ἀκήρατον, τὴν Ἁγνὴν ἐφύλαξας, Λόγος ἐξ ἧς Θεὸς ἐσαρκώθη, φυλάξας παρθένον, αὐτὴν μετὰ γέννησιν ἀπόῤῥητον· μεθ' ἧς θεοφόρε, Ἰωσήφ ἡμῶν μνημόνευε.

Ἕτερος τοῦ Ἁγίου. Ὁ εἱρμός.

*«Τὴν φωτοφόρον νεφέλην, ἐν ᾗ ὁ πάντων Δεσπότης, ὡς ὑετὸς ἐξ οὐρανοῦ, ἐπὶ πόκον κατῆλθε, καὶ ἐσαρκώθη δι᾽ ἡμᾶς, γενόμενος ἄνθρωπος ὁ ἄναρχος, μεγαλύνομεν πάντες, ὡς μητέρα τοῦ Θεοῦ ἡμῶν ἁγνήν».*

Στίχος. Μεγάλυνον ψυχή μου, Ἰωσὴφ τὸν θεῖον,
μνήστορα τῆς Κόρης Παρθένου Θεοτόκου.

Ὡς γνωστικός τε καὶ σώφρων, ὦ Ἰωσὴφ θεομάκαρ, ὡς τῇ καρδίᾳ ταπεινός, καὶ πιστότατος δοῦλος, δικαιοσύνης τῇ τιμῇ, καὶ δόξῃ τῇ κρείττονι κοσμούμενος, τήν Παρθένον Μαρίαν, ἐμνηστεύθης εὐδοκίᾳ τοῦ Θεοῦ.

Στίχος. Μεγάλυνον ψυχή μου, θείων Προπατόρων,
κλέος καὶ σφραγῖδα, τὸν Ἰωσὴφ τὸν πάνυ.

Ῥητορευόντων τὰ χείλη, οὐχ ἐξαρκοῦσιν ὑμνῆσαι, ὦ θεηγόρε Ἰωσήφ, τὴν μεγάλην σου δόξαν, σὺ γὰρ τὸν ἄναρχον Θεόν, ὡς βρέφος τικτόμενον ἑώρακας, ἐν Σπηλαίῳ ἐκ κόρης, ἀπειράνδρου ἣν μεμνήστευσαι πιστῶς.

Δόξα Πατρί.

Στίχ. Μεγάλυνον ψυχή μου τὸν ἐν τοῖς Δικαίοις,
λάμποντα ἐνθέως, τὸν Ἰωσὴφ τὸν μέγαν.

Ἀγαλλιάσθω ἡ κτίσις, ὁ οὐρανὸς εὐφραινέσθω, καὶ τῶν πιστῶν αἱ πατριαί, χορευέτωσαν ἅμα, ἐπὶ τῇ μνήμῃ Ἰωσήφ, τοῦ μνήστορος ψάλλοντες γηθόμενοι, τὸν ἑόρτιον αἶνον, καὶ ὑμνοῦντες τὸν Δεσπότην τοῦ παντός.

Καὶ νῦν. Θεοτοκίον.

Στίχ. Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Στάμνος ἡ θεία τοῦ μάννα, σὲ προετύπου Παρθένε, ἐν τῇ ἁγίᾳ σου γαστρί, τὸν οὐράνιον Ἄρτον, σὺ γὰρ ἐχώρησας Ἁγνή, ἀφάτῳ χρηστότητι τὸν τρέφοντα, καὶ εὐφραίνοντα πάντων, τὰς καρδίας βεβαιώσει ἀληθεῖ.

Καταβασίαι.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέρα, καὶ ἐνδοξοτέρα
τῶν ἄνω Στρατευμάτων.

Μυστήριον ξένον, ...

Μεγάλυνον ψυχή μου
τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας.

Στέργειν μὲν ἡμᾶς...

Ἐξαποστειλάριον Αὐτόμελον.

Ἐπεσκέψατο ἡμᾶς, ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν, ἀνατολὴ ἀνατολῶν, καὶ οἱ ἐν σκότει καὶ σκιᾷ, εὕρομεν τὴν ἀλήθειαν· καὶ γὰρ ἐκ τῆς Παρθένου ἐτέχθη ὁ Κύριος.

Ἐξαποστειλάριον. Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῆς Θεοτόκου μνῆστορ, ὦ Προπάτορ Ἰωσήφ, ἐν τῷ Σπηλαίῳ εἶδες, ἐνανθρωπήσαντα Χριστόν, Ὃν οἱ Ποιμένες καὶ Μάγοι, σὺν τοῖς Ἀγγέλοις ἀνύμνουν.

Καὶ τῆς Ἑορτῆς.

Ἐπεσκέψατο ἡμᾶς, ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν, ἀνατολὴ ἀνατολῶν, καὶ οἱ ἐν σκότει καὶ σκιᾷ, εὕρομεν τὴν ἀλήθειαν· καὶ γὰρ ἐκ τῆς Παρθένου ἐτέχθη ὁ Κύριος.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

Ἱστῶμεν Στίχους η΄,
καὶ ψάλλομεν τῆς ἑορτῆς τέσσαρα.

Ἦχος δ΄. Ἀνδρέου Ἱεροσολυμίτου.

Εὐφραίνεσθε Δίκαιοι· οὐρανοὶ ἀγαλλιᾶσθε· σκιρτήσατε τὰ ὄρη, Χριστοῦ γεννηθέντος· Παρθένος καθέζεται, τὰ Χερουβὶμ μιμουμένη, βαστάζουσα ἐν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Ποιμένες τὸν τεχθέντα δοξάζουσι. Μάγοι τῷ Δεσπότῃ δῶρα προσφέρουσιν. Ἄγγελοι ἀνυμνοῦντες λέγουσιν· ἀκατάληπτε Κύριε, δόξα σοι.

Ὁ αὐτός.

Ὁ Πατὴρ εὐδόκησεν· ὁ Λόγος σάρξ ἐγένετο· καὶ ἡ Παρθένος ἔτεκε, Θεὸν ἐνανθρωπήσαντα· Ἀστὴρ μηνύει· Μάγοι προσκυνοῦσι· Ποιμένες θαυμάζουσι· καὶ ἡ κτίσις ἀγάλλεται.

Ὁ αὐτός.

Θεοτόκε Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα, ἀνέτρεψας τὴν πρώτην, κατάραν τῆς Εὔας· ὅτι Μήτηρ γέγονας. τῆς εὐδοκίας τοῦ Πατρός, βαστάζουσα ἐν κόλποις, Θεόν Λόγον σαρκωθέντα. Οὐ φέρει τὸ μυστήριον ἔρευναν· πίστει μόνῃ τοῦτο πάντες δοξάζομεν, κράζοντες μετὰ σοῦ καὶ λέγοντες· ἀνερμήνευτε Κύριε, δόξα σοι.

Ὁ αὐτός.

Δεῦτε ἀνυμνήσωμεν, τὴν Μητέρα τοῦ Σωτῆρος, τὴν μετὰ τόκον πάλιν, ὀφθεῖσαν Παρθένον· Χαίροις Πόλις ἔμψυχε, τοῦ Βασιλέως καὶ Θεοῦ, ἐν ᾗ Χριστὸς οἰκήσας, σωτηρίαν εἰργάσατο. Μετὰ τοῦ Γαβριὴλ ἀνυμνοῦμέν σε, μετὰ τῶν Ποιμένων δοξάζομεν κράζοντες· Θεοτόκε πρέσβευε, τῷ ἐκ σοῦ σαρκωθέντι, σωθῆναι ἡμᾶς.

Καὶ εἶτα τοῦ Μνήστορος.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῇ Ὑπερθέῳ Τριάδι, νῦν παριστάμενος, ὦ Ἰωσὴφ Τρισμάκαρ, Θεοτόκου ὁ μνήστωρ, πρέσβευε ἀπαύστως, ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου, καὶ προσκυνούντων ἐκ πόθου τὴν ἱεράν, καὶ περίβλεπτον εἰκόνα σου.

Σὺ ἐξ Αἰγύπτου ἐκλήθης, καὶ ἐγκατῴκησας, εἰς Ναζαρὲτ χωρίον, μετὰ Κόρης Παρθένου, φύλαξ τε ἐδείχθης, τοῦ Ἰησοῦ, Ἰωσὴφ ὡς ἰσάγγελος, τὰς ἐντολὰς ἐκτελέσας πανευπειθῶς, τοῦ Θεοῦ ὡς δοῦλος γνήσιος.

Στίχος. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον...

Μετὰ Παρθένου Μαρίας, Χριστοῦ εἰς Γέννησιν, περιτομήν τε ἅμα, Ἰωσὴφ συμπαρέστης, εἶτα ὥσπερ βρέφος, ἐν τῷ Ναῷ, ἡμερῶν τεσσαράκοντα, προσενεγκόντες ἀκήκοας Συμεών, τοῦ πρεσβύτου θεῖα ῥήματα.

Στίχος. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Τῆς Θεοτόκου Μαρίας, τὸν θεῖον μνήστορα, τῶν προπατόρων κλέος, τῶν δικαίων τὸν πλοῦτον, Νέας Διαθήκης, καὶ Παλαιᾶς, τὸν ἐν μέσῳ ἐκλάμψαντα, τὸν Ἰωσὴφ ἐπαινέσωμεν τὴν αὐτοῦ, πολιτείαν μακαρίζοντες.

Δόξα. Ἦχος πλ. α΄.

Μεγαλοφώνως ᾄσωμεν πιστοί, τὸν μεγαλώνυμον Προπάτορα τοῦ Θεανθρώπου Κυρίου, Ἰωσὴφ τὸν Μνήστορα τῆς Παναγίας Παρθένου. Δικαιοσύνῃ γὰρ καὶ συνέσει πολιτευθείς, καὶ σωφροσύνης τῷ κάλλει κοσμηθείς, ἐλάμπρυνε τὸν χορὸν τῶν πρὸ τῆς χάριτος Πατέρων. Καὶ τὴν αὐγὴν προέφθασε τῆς νέας Ἀνατολῆς, Χριστοῦ ἰδὼν τὴν θείαν Γέννησιν, ἐκ τῆς ἀπειρογάμου Κόρης. Καὶ ταύτῃ διακονήσας εὐπειθῶς, Θεοῦ εὐάρεστος εὑρέθη, πρὸς Ὃν πρεσβεύει ἐκτενῶς ὑπὲρ ἡμῶν, τοῦ γνῶναι καὶ ποιεῖν ἐπιμελῶς, τὰ θεῖα Αὐτοῦ καὶ σωτήρια θελήματα.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος β΄.

Σήμερον ὁ Χριστός, ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου. Σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται. Αἱ Δυνάμεις τῶν οὐρανῶν ἀγάλλονται, καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται· οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν· οἱ Ποιμένες τὸ θαῦμα θαυμάζουσιν· ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Δοξολογία Μεγάλη.

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## Ἀντίφωνα.

### Ἀντίφωνον Α΄. Ἦχος β΄.

Στίχ. α΄.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. β΄.

Ἐν βουλῇ εὐθέων καὶ συναγωγή, μεγάλα τὰ ἔργα Κυρίου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. γ΄.

Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. δ΄.

Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

## Ἀντίφωνον Β´. Ἦχος β´.

### Στίχ. α´.

Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον·
ἐν ταῖς ἐντολαῖς, αὐτοῦ θελήσει σφόδρα.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.

### Στίχ. β´.

Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς...

### Στίχ. γ´.

Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ,
καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς...

### Στίχ. δ´.

Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς...

Δόξα, καὶ νῦν.

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

## Ἀντίφωνον Γ´. Ἦχος δ´.

### Στίχ. α´.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου,
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

### Στίχ. β´.

Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Στίχ. γ΄.

Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου,
ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰσοδικόν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν Μελχισεδέκ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς,
ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἀπολυτίκια.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν... (δίς)

Τοῦ Ἁγίου.

Τὸν Προπάτορα δεῦτε τοῦ Χριστοῦ... (δίς)

Κοντάκια.

Τῶν προπατόρων τοῦ Χριστοῦ τὴν ἐπισφράγησιν...

Ἡ Παρθένος σήμερον...

Ἀντὶ δὲ τοῦ τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Ἀπόστολος.

Πρὸς Ἑβραίους. Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι...

(Ζήτει τῇ ΣΤ΄ ὥρα τῆς Μεγάλης Παρασκευῆς).

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἀναχωρησάντων τῶν Μάγων...

(Ζήτει εἰς τὴν θ΄ ὥραν τῆς Παραμονῆς).

## Μεγαλυνάριον.

Χαίροις Θεοδόξαστε Ἰωσήφ, βάσις τῶν Δικαίων προπατόρων ἡ κατακλείς, μνῆστορ τῆς Παρθένου Μαρίας Θεοτόκου· Χριστοῦ τοῦ βρεφοθέντος, φύλαξ φιλόστοργε.

## Δίστιχα. Ἀκροτελεύτια.

Τοῖς θείοις παραγγέλμασιν ὑπήκοόν με δεῖξον,
Χριστοῦ Προπάτορ Ἰωσὴφ μνῆστορ τῆς Θεοτόκου,
βοᾷ σοι ὕμνοις καὶ ᾠδαῖς ἡ πένης Ἰσιδώρα,
καὶ ἐξ Αἰγύπτου τῶν παθῶν ἀξίωσον φυγεῖν με,
ὅπως ἂν φθάσω ἀσφαλῶς εἰς γῆν τῆς ἀπαθείας,
ἔνθα Ἁγίων οἱ χοροὶ καὶ τάξεις τῶν Ἀγγέλων,
δοξολογοῦσιν ἐκτενῶς Θεοῦ τὴν Βασιλείαν,
Πατρὸς Υἱοῦ καὶ Πνεύματος Μοναρχικῆς Τριάδος
Ἧ πρέπει ἡ προσκύνησις καὶ δόξα εἰς αἰῶνας. ΑΜΗΝ.



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΠΡΟΠΑΤΟΡΟΣ ΙΩΣΗΦ ΤΟΥ ΜΝΗΣΤΟΡΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

Ὁ Ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων.

Ὁ ἀναγνώστης: Ἀμήν.

Ψαλμὸς ΡΜΒ´ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν

εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχή μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου· ὅτι ἐγὼ δοῦλός Σου εἰμί.

Καὶ εὐθὺς τό: Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου. (τετράκις)

Κατόπιν τὰ Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ Ἰωσὴφ ὁ θεηγόρος ὁ μνήστωρ, τῆς Παναγίας Θεοτόκου Μαρίας, ὁ γνωστικὸς καὶ Δίκαιος, καὶ σώφρων δὲ ἀνήρ· θείοις μελῳδήμασιν, ἱερῶς εὐφημείσθω, τούτῳ γὰρ ἁρμόζουσιν, ἡ τιμὴ καὶ ἡ δόξα· ὅτι τὸν νόμον ἔστερξε Θεοῦ, τοῦτον τηρήσας, ὡς δοῦλος πιστότατος.

Δόξα. Ὅμοιον.

Ἐν τῷ Σπηλαίῳ Ἰωσὴφ θεοῤῥῆμον, τῇ ἐκ Παρθένου τῆς μνηστῆς σου Γεννήσει, τοῦ Ἰησοῦ παρέστηκας, καὶ εἶδες καθαρῶς· Μάγους καὶ Ποιμένας τε, μετὰ δώρων ἐλθόντας, ἤκουσας Ἀγγέλων τε, μελῳδίας ψαλλόντων· τὸ ἐν Ὑψίστοις δόξα καὶ ἐν γῇ, ἡ εὐδοκία, εἰρήνη ἀνθρώποις τε.

Καὶ νῦν. Ὅμοιον.

Αἱ τῶν Δικαίων ἐπαγάλλονται τάξεις, τῶν Προπατόρων τε χορεῖαι σκιρτῶσι, τῇ ἱερᾷ Γεννήσει σου, Χριστὲ ὁ Θεός· Μήτηρ σου ἡ ἄσπιλος, Μαριὰμ συγχορεύει, κτίσις τε ἡ σύμπασα, ἐν χαρᾷ ἑορτάζει· ὅτι ἠνοίχθη πάλιν ἡ Ἐδέμ, καὶ σωτηρίας, τὸ δῶρον ἐλάβομεν.

## Ὁ Ἀναγνώστης.

## Ψαλμὸς Ν´ (50).

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καὶ τὸ Πνεῦμα Σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδοις μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς Σου καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουθενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ἀρχόμεθα τοῦ Κανόνος. Οὗ ἡ Ἀκροστιχίς·

«Ἄδω σε Μνῆστορ Ἰωσὴφ Θεοπάτορ. Ἰσιδώρας».

Ἦχος πλ. δ΄. Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Αἰνέσωμεν μνήστορα Ἰωσήφ, Δικαίων τὴν δόξαν Προπατόρων τὴν ἐκλογήν, Παρθένου Μαρίας τὸν προστάτην· τῆς Παλαιᾶς Διαθήκης τὸν πρόκριτον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δεσπότην καὶ Κύριον τοῦ παντός, μητρὸς ἐκ Παρθένου ἣν μεμνήστευσαι Ἰωσήφ, τικτόμενον εἶδες ἐν Σπηλαίῳ· οὗ καὶ πατὴρ κατὰ χάριν ὠνόμασαι.

Δόξα.

Ὡς μνήστωρ καὶ φύλαξ τῆς Μαριάμ, αὐτῇ παρεστάθης δικαιότατε Ἰωσήφ, Κυρίου τὸ θέλημα ποιήσας· ὑπακοῆς τε γενόμενος πρότυπον.

Καὶ νῦν. Θεοτοκίον.

Σκηνὴ χρυσοστόλιστος τοῦ Θεοῦ, παλάτιον δόξης σὺ εἶ Πάναγνε Μαριάμ, ὑπέρτατος Θρόνος τοῦ Δεσπότου· καὶ καθαρότατος οἶκος τῆς χάριτος.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξαιρέτως σκιρτῶσι, τῇ ἱερᾷ μνήμῃ σου, μνῆστορ Ἰωσὴφ Θεομάκαρ, πάντες οἱ Δίκαιοι, τῶν προφητῶν τε χοροί, ἀγαλλιῶνται συμφώνως, ἐν χαρᾷ τε σύμπασα, κτίσις εὐφραίνεται.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μακρυνθεὶς ἐν Αἰγύπτῳ, ὢ Ἰωσὴφ ἐφύλαξας, ἀπὸ τῆς μαχαίρας Ἡρῴδου, τοῦ μανιόφρονος, τὸν σαρκωθέντα Χριστόν, τὸν τοῦ παντὸς Βασιλέα, σὺν Μητρὶ Θεόπαιδι, ἥνπερ μεμνήστευσαι.

Δόξα.

Νομικῶν προσταγμάτων, ἡ τυραννὶς λέλυται, χάριτος τὸ φῶς τὸ γλυκύ τε, θείως ἀνέτειλεν, ἐκ τῆς Παρθένου Ἁγνῆς, τοῦ Ἰησοῦ γεννηθέντος, Ἰωσήφ, οὗ γέγονας, φύλαξ φιλόστοργος.

Καὶ νῦν. Θεοτοκίον.

Ἡλιόμορφε Κόρη, παρθενικὸν καύχημα, πύλη τῆς ἡμῶν σωτηρίας, νύμφη ἀνύμφευτε, ἀνατολῆς νοητῆς, ἡ φωτοφόρος ἡμέρα, τῆς χαρᾶς τὸ πλήρωμα, χαῖρε Μητρόθεε.

Προστάτης μου, ἐν ταῖς ἀνάγκαις τοῦ βίου γενοῦ καὶ φύλαξ, εὐσυμπάθητε Ἰωσὴφ Προπάτορ καὶ Δίκαιε, πανεύφημε μνῆστορ τῆς Θεοτόκου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ Ἱερεὺς μνημονεύει. Μεθ᾽ ὅ. Κάθισμα.

Ἦχος β΄. Πρεσβεία θερμή.

Δικαίων χοροί, ἐνθέως ἐπαγάλλονται, τῇ μνήμῃ τῇ σῇ, Προπάτορ Δικαιότατε, Ἰωσὴφ μακάριε· τῆς Παρθένου μνῆστορ πανέντιμε, καὶ τοῦ Κυρίου φύλαξ συμπαθής, ὃν πᾶσι ἱλέωσαι πρεσβείαις σου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺν Δικαίοις ὁ κλῆρός σου, σὺν τοῖς ἐκλεκτοῖς τε ἐστὶν ἡ δόξα σου· Ἰωσὴφ Προπάτορ ἔνδοξε, τῆς Παρθένου μνῆστορ τιμιώτατε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τίς ἀξίως ὑμνήσειεν, Ἰωσὴφ τοῦ μνήστορος τὰ θαυμάσια· ἢ τίς πάλιν ἐπαινέσειεν, τὰ αὐτοῦ μεγάλα προτερήματα;

Δόξα.

Ὁ Δεσπότης τοῦ σύμπαντος, ὅτε ἐκ Παρθένου Ἁγνῆς σεσάρκωται· κηδεμόνα καὶ προστάτην σε, Ἰωσὴφ ἐκτήσατο φιλόστοργον.

Καὶ νῦν. Θεοτοκίον.

Ῥητορεύσεις πεπλήρωνται, τῶν προφητευόντων ἐν θείῳ Πνεύματι· ἡ Παρθένος γὰρ ἐκύησε, τὸν Θεὸν παρθένος διαμείνασα.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴδωμεν πιστοί, Ἰωσὴφ τὸν θεοδόξαστον, πῶς ἠξίωται Κυρίῳ τῷ Θεῷ, διακονῆσαι, ἐπὶ γῆς μετὰ πιστότητος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ τῆς ἀγαθῆς, καὶ ἀμέμπτου πολιτείας σου, δι᾽ ἧς εὕρηκας Προπάτορ Ἰωσήφ, τιμῆς καὶ δόξης, τὴν ἐξαίρετον διάκρισιν.

Δόξα.

Σέβω Ἰωσήφ, ὦ Προπάτορ τὴν ἁγίαν σου, καὶ σεβάσμιον τιμὴν καὶ εὐλαβῶς, τὴν σὴν εἰκόνα, προσκυνῶ τὴν χαριτόβρυτον.

Καὶ νῦν. Θεοτοκίον.

Ἥδιστόν ἐστι, καὶ ὑπέρκαλλον τὸ κάλλος σου, Παναγία Θεοτόκε Μαριάμ, σὺ γὰρ Ἀγγέλων, ὑπερβαίνεις τὰ στρατεύματα.

ᾨδὴ στ΄. Τὴν δέησιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Φαιδρύνονται, ἐπὶ σοὶ τὰ τάγματα, τῶν Δικαίων Ἰωσὴφ θεηγόρε· καὶ οἱ χοροί, τῶν σεπτῶν προπατόρων, ἀγαλλιάσει ψυχῆς συναγάλλονται· πιστῶν τε πᾶσαι πατριαί· εὐφραινόμεναι χαῖρέ σοι ψάλλουσιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θελήματι, τοῦ Θεοῦ ὑπήκουσας, Ἰωσὴφ ὡς ἀγαθὸς τῇ καρδίᾳ· καὶ τὴν Ἁγνήν, Μαριὰμ ἐμνηστεύθης, ἐξ ἧς ἐτέχθη ἀσπόρως ὁ Κύριος· οὗ γέγονας ἐπὶ τῆς γῆς· κηδεμὼν καὶ προστάτης φιλόστοργος.

Δόξα.

Εἰς Αἴγυπτον, Ἰωσὴφ ὡδήγησας, τὸν Χριστὸν καὶ τὴν Παρθένον Μαρίαν· ὅτε φωνή, τοῦ Ἀγγέλου σοὶ εἶπεν, ὅτι Ἡρῴδης μαχαίρᾳ τὰ νήπια· φονεῦσαι μέλλει μανικῶς· ἀνελεῖν Βασιλέα αἰώνιον.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ τόκος σου, Παναγία Δέσποινα, καταπλήττει τῶν Ἀγγέλων τὰς τάξεις· καὶ ἐξιστᾷ, τῶν βροτῶν διανοίας, πῶς τὸν Θεὸν ἐν γαστρί σου ἐχώρησας· καὶ ἔμεινας ὡς πρὶν Ἁγνή· ὑπερβᾶσα τοὺς νόμους τῆς φύσεως.

Προστάτης μου, ἐν ταῖς ἀνάγκαις τοῦ βίου γενοῦ καὶ φύλαξ, εὐσυμπάθητε Ἰωσὴφ Προπάτορ καὶ Δίκαιε, πανεύφημε μνῆστορ τῆς Θεοτόκου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον, ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ὁ Ἱερεὺς καὶ πάλιν μνημονεύει.

Μεθ᾽ ὅ. Κάθισμα. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Προπατόρων τὸ σεμνοπρεπὲς ἐγκαλώπισμα, τῶν Δικαίων τὸ πλουτοποιόν τε θησαύρισμα, ἐν αἰνέσει τὸν Ἰωσὴφ τιμήσωμεν πιστοί· αὐτοῦ στέργοντες τὰς ἀρετάς, καὶ τὴν πρὸς Κύριον στοργήν, καὶ πιστὴν ἀφοσίωσιν. Μνήστορα τῆς Παρθένου, προστάτην καὶ κηδεμόνα, τοῦ νηπιάσαντος Χριστοῦ, ἐξ αὐτῆς δι᾽ ἀγαθότητα.

Προκείμενον.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε·
ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·
Κάθου ἐκ δεξιῶν μου…

Καὶ πάλιν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε·
ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.

ΕΥΑΓΓΕΛΙΟΝ.
(Τῆς ἡμέρας 26ης Δεκεμβρίου).

Δόξα.

Ταῖς τοῦ σοῦ Δικαίου πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου
ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Μνῆστορ τιμιώτατε, τῆς Παναγίας Παρθένου, Ἰωσὴφ μακάριε, τὰ πολλά σου στέργομεν προτερήματα· ἐν σεμνοῖς ἤθεσι, καὶ χρηστοῖς γὰρ τρόποις, διεκρίθης καὶ ἠρίστευσας· πιστὸς γενόμενος, μετὰ καθαρᾶς συνειδήσεως· τοῖς θείοις τε προστάγμασιν, ἀγαθοπρεπῶς πορευόμενος· ὅθεν ἠξιώθης, τῆς δόξης καὶ τῆς κρείττονος τιμῆς, διακονῆσαι Κυρίῳ σου, Χριστῷ νηπιάσαντι.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παρανόμου Ἡρῴδου, Ἰωσὴφ θεοφάντορ τὰ διατάγματα, παρέδραμες τὸ βρέφος, Χριστὸν σὺν τῇ Παρθένῳ, ὡδηγήσας εἰς Αἴγυπτον· τῇ τοῦ Ἀγγέλου φωνῇ, εὐθὺς καθυπακούσας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκοῇ σου ἰδίᾳ, Ἰωσὴφ τοῦ πρεσβύτου τοὺς λόγους ἤκουσας, ἀπόλυσον εἰπόντος, ὦ Δέσποτα σὸν δοῦλον, ὅτι εἶδόν σε σήμερον· τὸν φωτισμὸν τῶν ἐθνῶν, λαοῦ σου σωτηρίαν.

Δόξα.

Τεχνηέντως ἀσκήσας, Ἰωσὴφ ἐν τῷ βίῳ τὴν τέχνην τέκτονος, εὐκαίρως ἐπορίζου, τοῦ ζῆν τὰ ἀναγκαῖα, καὶ σαυτὸν ἡμῖν δέδωκας· ὑπογραμμὸν ἀρετῆς, καὶ τύπον ἐργασίας.

Καὶ νῦν. Θεοτοκίον.

Οὐρανῶν πλατυτέρα, καὶ τῆς γῆς ἀνωτέρα καὶ πάσης κτίσεως, ὑπερενδοξοτέρα, ὑπάρχεις Παναγία, Θεοτόκε ὡς τέξασα· τὸν τοῦ παντὸς Ποιητήν, Χριστὸν ἀπειρογάμως.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥαθύμων ὕπνον, ὦ Ἰωσὴφ θεομάκαρ, ἀπεβάλου ψυχῆς ἐγρηγόρσει, ψάλλων τῷ Κυρίῳ, ᾠδὰς εὐχαριστίας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδού σοι ψάλλει, ἡ Ἐκκλησία τὸ χαῖρε, πρεπωδῶς Ἰωσὴφ καθ᾽ ἑκάστην, μνῆστορ τῆς Παρθένου, Μαρίας Θεοτόκου.

Δόξα.

Σκεῦος ἐγένου, τῆς ἐκλογῆς τῆς τιμίας, Ἰωσὴφ τὴν τοῦ Πνεύματος χάριν, πλουσίαν δεδεγμένος, Θεοῦ τῇ εὐδοκίᾳ.

Καὶ νῦν. Θεοτοκίον.

Ἱλαστικαῖς σου, καὶ μητρικαῖς σου πρεσβείαις, πρὸς Θεὸν Παναγία Παρθένε, δίδου σοῖς ἱκέταις, τὸ ἔλεος τὸ μέγα.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δοχεῖον σὺ ὑπάρχεις, πλῆρες εὐλογίας, ὢ Ἰωσὴφ κατ' ἀξίαν, καὶ γὰρ τῆς ἁγνῆς, εὐλογημένης Μαρίας, μνήστωρ γεγένησαι.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ὄρθρος ὡς ἡμέρα, θείας εὐφροσύνης, ὢ Ἰωσὴφ ἐν τῷ κόσμῳ, ἐπέστη λαμπρῶς, ἡ ἱερὰ ἑορτή σου, πάντας φαιδρύνουσα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥαθύμων τὰς καρδίας, ἕλκει πρὸς τὴν νῆψιν, καὶ πρὸς καλὴν ἐργασίαν, ὁ βίος ὁ σός, ὢ Ἰωσὴφ τῆς Παρθένου, μνῆστορ ἀοίδιμε.

Δόξα.

Ἀγάλλου Ἰουδαία, ἔχουσα ὡς πλοῦτον, τῶν ἱερῶν προπατόρων, τὸν θεῖον χορόν, ὧν Ἰωσὴφ τῆς Πανάγνου, μνῆστορ ἐξαίρεται.

Καί νῦν. Θεοτοκίον.

Σοὶ πρέπει κατ' ἀξίαν, δόξης ἡ πληρότης, καὶ σοὶ τὸ χαῖρε βοῶμεν, Παρθένε Ἁγνή, ὡς τῆς χαρᾶς τῆς ἀλήκτου, πλῆρες κεφάλαιον.

Καὶ εὐθύς, τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια, ὧν ἡ Ἀκροστιχίς·
«Χαῖρε Δίκαιε».

Χαίροις Θεοδόξαστε Ἰωσήφ, κλέος τῶν Δικαίων Προπατόρων τε ἡ σφραγίς, μνῆστορ τῆς Παρθένου Μαρίας Θεοτόκου· τῶν θείων προσταγμάτων φύλαξ πιστότατε.

Ἄγαμαι τὴν δόξαν σου Ἰωσήφ, στέργω σου τὴν χάριν ἐκθειάζω σου τὴν τιμήν, ὕμνοις σου ἐξαίρω τὰ θεῖα μεγαλεῖα· θαυμάζων σου τὴν χάριν τὴν ἀκατάληπτον.

Ἴδωμεν καρδίας τοῖς ὀφθαλμοῖς, Κόρην τὴν Παρθένον ἐν Σπηλαίῳ τῆς Βηθλεέμ, τὴν ἀποτεκοῦσαν Χριστὸν τὸν Βασιλέα· καὶ αὖθις Ἰωσήφ τε ταύτης τὸν μνήστορα.

Ῥόδον ὡς ἡδύπνοον Ἰωσήφ, μύρον εὐωδίας ἀποστάζεις πνευματικῆς, καὶ καθαγιάζεις καρδίας τῶν αἰνούντων· τὴν μνήμην σου τὴν θείαν καὶ πολυΰμνητον.

Ἔχομεν ὡς τεῖχος καὶ ὀχυρόν, σοῦ τὰς μεσιτείας πρὸς τὸν Κύριον Ἰωσήφ, σὺ γὰρ τῆς Παρθένου ὡς μνήστωρ καὶ προστάτης· ὡσαύτως διασῴζεις πάντας ἐκ θλίψεων.

Δίκαιος ὑπάρχων καὶ ἀγαθός, πρᾶος τῇ καρδίᾳ καὶ ἀκέραιος Ἰωσήφ, σώφρων ταπεινός τε τοῖς ἤθεσι χρηστός τε· παρέστης τῷ Κυρίῳ ἐν οἰκειότητι.

Ἵστασο ἐν ὕψει τῆς προσευχῆς, ὅτε Ἄγγελός σοι ἀπεκάλυψεν Ἰωσήφ, φεῦγε σὺν νηπίῳ Χριστῷ ἐν τῇ Αἰγύπτῳ· μαχαίρᾳ γὰρ Ἡρῴδης σφάξει τὰ νήπια.

Κέδρος ὡς ὑψίκομος Ἰωσήφ, θείως ἐφυτεύθης ἐφ᾽ ὑδάτων τῆς νομικῆς, πάλαι Διαθήκης καὶ πάνυ ἐπληθύνθης· καλῇ καρποφορίᾳ θείας χρηστότητος.

Ἄγγελοι καὶ ἄνθρωποι συνῳδά, ὕμνοις ἐπαινοῦσι δικαιότατε Ἰωσήφ, σοῦ τὰς ἐξαιρέτους καὶ θείας ἀριστείας· θαμβούμενοι τὸν πλοῦτον τῆς εὐκληρίας σου.

Ἴχνεσιν ἐβάδισας Ἰωσήφ, τῆς Δικαιοσύνης καὶ ἠξίωσαι τὴν Ἁγνήν, Κόρην μνηστευθῆναι κληθῆναι τοῦ Κυρίου· πατήρ τε κατὰ χάριν ὢ τῆς ἀξίας σου.

Ἔπαινόν σοι πλέκομεν Ἰωσήφ, πᾶσαι τῶν ἀνθρώπων αἱ φυλαί τε καὶ γενεαί, ὅτι ἐμνηστεύθης τὴν Δέσποιναν τοῦ κόσμου· ἐξ ἧς ἡ σωτηρία πᾶσιν ἀπέδοται.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον. Καὶ τὸ Ἀπολυτίκιον.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῆς Ἁγνῆς Θεοτόκου τὸν θεῖον μνήστορα, τῶν Προπατόρων τὸ κλέος τὴν τῶν Δικαίων στολήν, Ἰωσὴφ τὸν ἐκλεκτὸν ὑπερθαυμάσωμεν· τούτῳ βοῶντες ἐκτενῶς, ἐξ Αἰγύπτου τῶν παθῶν, ἐξάγαγε σοὺς ἱκέτας, ἐν Αἰγύπτῳ ὁ τὴν Παρθένον, σὺν τῷ νηπίῳ ὁδηγήσας Χριστῷ.

Ἐκτενὴς καὶ Ἀπόλυσις.

Πρὸ δὲ τοῦ δι᾿ εὐχῶν. Τὰ Ἀκόλουθα.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Χαίροις ὦ Προπάτορ Ἰωσήφ, μνῆστορ τῆς Παρθένου Μαρίας, δικαιοσύνης στολή, ὕψος πολυθαύμαστον, τῆς ἁγιότητος· καθαρότητος ἔσοπτρον, κανὼν σωφροσύνης, σκεῦος τὸ ὑπέρτιμον, τῆς θείας γνώσεως. Χαίροις ἀρετῶν τὸ ταμεῖον, θείων ἐντολῶν ὁ ἐργάτης· δοῦλε τοῦ Κυρίου σου πιστότατε.

Εἶδες ἐν Σπηλαίῳ Βηθλεέμ, Κόρης ἐκ Παρθένου τεχθέντα, τὸν πρὸ αἰώνων Θεόν, Μάγους καὶ Ποιμέ-

νας τε, ἐκεῖσε φθάσαντας· προσκυνῆσαι καὶ λίβανον, χρυσόν τε καὶ σμύρναν, δῶρα ὡς πολύτιμα, Αὐτῷ προσάξαντας. Ἅμα Ἰωσὴφ καὶ Ἀγγέλων, ἤκουσας ἐξ ὕψους ψαλλόντων· καὶ Θεοῦ αἰνούντων τὰ θαυμάσια.

Σέβω σου τὰς χεῖρας Ἰωσήφ, αἷς τὸν Βασιλέα τῶν ὅλων, ἐνηγκαλίσθης σαρκί, ὃν ἡ ἀπειρόγαμος, μνηστή σου ἔτεκεν· μετ᾽ αὐτῆς περιτέμνεσθαι, Ναῷ ἐν Ἁγίῳ, τοῦτον ὀκταήμερον, βρέφος προσήξατε. Εἶτα τεσσαράκοντα πάλιν, ἡμερῶν ἐφέρατε τοῦτον· Συμεὼν ὁ πρέσβυς ὃν ἐδέξατο.

Δίστιχα Ἀκροτελεύτια.

Οἰκείωσόν με τῷ Θεῷ εὐχαῖς σου εὐπροσδέκτοις,
Χριστοῦ Προπάτορ Ἰωσὴφ μνῆστορ τῆς Θεοτόκου,
βοᾷ σοι παρακλήσεσιν ἡ πένης Ἰσιδώρα,
ὅπως φυλάττουσα Αὐτοῦ τὰς ἐντολάς τὰς θείας,
πταισμάτων λάβω ἱλασμὸν καὶ χάριν τοῦ ἐλέους,
τὸν ἐλεήμονα Θεὸν ἀεὶ δοξολογοῦσα,
ᾧ πρέπει δόξα καὶ τιμὴ εἰς πάντας τοὺς αἰῶνας. ΑΜΗΝ.

ΤΕΛΟΣ ΘΕΩ ΤΕ ΤΩ ΠΑΜΒΑΣΙΛΕΙ
ΔΩΜΕΝ ΜΕΓΑΛΩΣΥΝΗΝ.

# ΧΑΙΡΕΤΙΣΤΗΡΙΟΙ ΟΙΚΟΙ ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΠΡΟΠΑΤΟΡΟΣ ΙΩΣΗΦ ΤΟΥ ΜΝΗΣΤΟΡΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

***Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης***

Κοντάκιον. Ἦχος πλ. δ´. Τῇ Ὑπερμάχῳ.

Τῶν προπατόρων τοῦ Χριστοῦ τὸ σεμνολόγημα, τῆς παλαιᾶς τε Διαθήκης τὸ ἐκσφράγισμα, τῶν ἀνδρῶν τε τῶν Δικαίων τὸ θεῖον κάλλος. Τὸν προστάτην τῆς πανάγνου Θεομήτορος, Ἰωσὴφ τὸν ἀγαθότητι κοσμούμενον, ὕμνοις μέλψωμεν. **Χαίροις μνῆστορ θειότατε.**

Ὁ Οἶκος.

Ἄγαμαι τὰς ἐνθέους Ἰωσὴφ ἀρετάς σου, Παρθένου Θεομήτορος μνῆστορ (γ´), (Ἅγιε προπάτορ τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν) καὶ αὐτὰς ὡσαύτως ἐπαινῶν ἐν ᾄσμασι, βοῶ σοι γηθοσύνως ταῦτα·

Χαίροις τὸ ἄνθος τῆς εὐσεβείας·
Χαίροις τὸ κάλλος τῆς εὐπρεπείας.

Χαίροις ἀνδρῶν δικαίων ὁ ἔπαινος·
Χαίροις ψευδοῦς ἀπάτης ὁ ἔλεγχος.

Χαίροις τίμιον ἀγλάϊσμα Διαθήκης παλαιᾶς·
Χαίροις ἔμψυχον ὡράϊσμα οὐρανίου στρατιᾶς.

Χαίροις ὅτι ἐγένου Ἁγνῆς Παρθένου παραστάτης·
Χαίροις ὅτι ἐγνώσθης Χριστοῦ τεχθέντος ὁ προστάτης.

Χαίροις θείας ἀγαθότητος ὁ ἀκένωτος κρατήρ·
Χαίροις ἄγαν τε σεμνότητος ὁ πολύσοφος ἀνήρ.

Χαίροις Πνεύματος Ἁγίου ἡ φωνὴ ἡ γλυκυτάτη·
Χαίροις θείων χαρισμάτων ἡ πηγὴ ἡ πληρεστάτη.

**Χαίροις μνῆστορ θειότατε.**

Βίβλοι τῶν θεηγόρων προφητῶν ἐπληροῦντο, Χριστοῦ ἐκ τῆς Παρθένου τεχθέντος, ἧς ἐγένου μνήστωρ, Ἰωσὴφ θειότατε, ἡμῶν τε πρέσβυς πρὸς Θεὸν θερμότατος, τῶν πίστει μελῳδούντων.

**Ἀλληλούϊα.**

Γέγηθε προπατόρων τοῦ Χριστοῦ ἡ χορεία, ὢ μνῆστορ Ἰωσὴφ τῇ τιμῇ σου. Καὶ γὰρ δόξῃ θείᾳ ἐξαιρέτως ἔλαμψας, καὶ ἐκλαμπρύνεις τοὺς βοῶντάς σοι ἐν ὑμνῳδίαις ταῦτα.

Χαίροις τὸ κάλλος τῆς εὐκοσμίας·
Χαίροις ἡ δόξα τῆς ἐκκλησίας.

Χαίροις προπατόρων Χριστοῦ τὸ ἐκσφράγισμα·
Χαίροις τῶν δικαίων ἀνδρῶν τὸ ὡράϊσμα.

Χαίροις πλοῦτε πολυέραστε τῶν ἐνθέων ἀρετῶν·
Χαίροις σκεῦος πολυτίμητον τῶν τιμίων δωρεῶν.

Χαίροις ὅτι ἐδιδάχθης τὴν οὐράνιον σοφίαν·
Χαίροις ὅτι ἐμυήθης τοῦ Θεοῦ τὰ μεγαλεῖα.

Χαίροις τῆς ἀγαθωσύνης ἀπαράμιλλος εἰκών·
Χαίροις τῆς χρηστοηθείας θεοτύπωτος κανών.

Χαίροις ἄνερ ὁ φυλάξας τὴν Παρθένον Παναγίαν·
Χαίροις πάτερ ὁ κρατύνας τῶν Ἁγίων τὴν χορείαν.

**Χαίροις μνῆστορ θειότατε.**

Δίκαιος ἐπὶ πᾶσιν Ἰωσὴφ ἐγνωρίσθης, ἀκέραιος καὶ σώφρων τοῖς τρόποις. Ἀγαθὸς χρηστός τε καὶ σοφώτατος, σοφίζων τοὺς προσφέροντάς σοι ἐν ᾠδαῖς τὸν ὕμνον·

**Ἀλληλούϊα.**

Ἔπαινον εὐχαρίστως σοὶ προσφέρομεν πάντες, οἱ γνόντες Ἰωσὴφ τὴν σὴν δόξαν. Καὶ γὰρ χάριν εὗρες ἐκ Θεοῦ τοῦ σὲ τιμήσαντος, ἣν νέμεις πολλαπλῶς τοῖς κράζουσιν ὑμνοπρεπῶς σοι ταῦτα·

Χαίροις ὁ πλοῦτος τῆς εὐποιΐας·
Χαίροις τὸ μέτρον τῆς ἐγκρατείας.

Χαίροις πύργε ἀκαθαίρετε Ἐκκλησίας τοῦ Χριστοῦ·
Χαίροις στῦλε παμφαέστατε Εὐαγγελικῆς ὁδοῦ.

Χαίροις φύλαξ τῆς Παρθένου Παναγίας Θεοτόκου·
Χαίροις φίλε τοῦ ἁγίου θεοπαραδότου νόμου.

Χαίροις ὅτι ἐθεάσω κάλλη τὰ τοῦ οὐρανοῦ·
Χαίροις ὅτι ἑρμηνεύεις τὰ μυστήρια Θεοῦ.

Χαίροις δόξῃ ἀποῤῥήτῳ ὁ ἀξίως κοινωνήσας·
Χαίροις θείας Βασιλείας ὁ τὴν εἴσοδον γνωρίσας.

Χαίροις ἔαρος ἁγίου ἡ τιμία χελιδών·
Χαίροις θείας εὐφροσύνης ἡ γλυκεῖα ἀηδών.

**Χαίροις μνῆστορ θειότατε**

Ζέουσαν τὴν καρδίαν Ἰωσὴφ κεκτημένος καὶ πόθῳ ἱερῷ πεπλησμένην, ἐτήρησας Κυρίου τὸν νόμον. Τῆς χαρᾶς διὸ τῆς ἀληθοῦς νῦν ἐμφορούμενος, χαροποιεῖς καὶ ἐπευφραίνεις τοὺς βοῶντας ἐκτενῶς τὸν ὕμνον·

**Ἀλληλούϊα.**

Ἤκουσας τοῦ Ἀγγέλου, Ἰωσὴφ σοὶ λαλοῦντος, μὴ φοβηθεὶς παραλαβεῖν Μαρίαν τὴν θεόπαιδα. Καὶ γὰρ τὸ ἐξ αὐτῆς τεχθέν, ἐκ Πνεύματός ἐστιν Ἁγίου, Ὃν προσκυνοῦντες ὡς Θεόν, βοῶμέν σοι θεοπειθῶς τοιάδε·

Χαίροις τὸ σκεῦος τῆς εὐλογίας·
Χαίροις τὸ λίκνον τῆς εὐδοκίας.

Χαίροις τοῦ Εὐαγγελίου ὁ προάγγελος υἱός·
Χαίροις τῆς οἰκονομίας τῆς ἀρίστης ὁ βλαστός.

Χαίροις δοῦλε ὁ φυλάξας τὰς καλὰς παραγγελίας·
Χαίροις κῆρυξ ὁ μηνύσας τὰς σοφὰς νομοθεσίας.

Χαίροις ὅτι ἐγνωρίσθης ἐν παντὶ ὡς συνετός·
Χαίροις ὅτι διαλάμπεις ὡς ὁ δόκιμος χρυσός·

Χαίροις τῆς χαρᾶς τῆς ἄνω τὸ καλλίμορφον δοχεῖον.
Χαίροις τῆς ζωῆς τὸ μέγα καὶ ὠφέλιμον σχολεῖον.

Χαίροις τῆς λαμπρᾶς ἀξίας λευκοφόρε κοινωνέ·
Χαίροις ἐκλεκτῶν χορείας ἀξιότιμε φρουρέ.

**Χαίροις μνῆστορ θειότατε.**

Θαύματος παραδόξου σὺ αὐτόπτης ἐγένου, προπάτορ Ἰωσὴφ θεηγόρε. Ἐν σπηλαίῳ γάρ, Παρθένον εἶδες τὸν Θεὸν σαρκὶ τεκοῦσαν ἀπειράνδρως, πρὸς Ὃν σὺν τοῖς Ἀγγέλοις ᾠδὴν ἐβόας·

**Ἀλληλούϊα.**

Ἴχνεσι τῶν Δικαίων προπατόρων βαδίσας, παμμάκαρ Ἰωσὴφ ἐπαξίως, εἰς τοῦ παραδείσου τὰς φωτεινὰς ἐπαύλεις ἔφθασας, φωτὸς παρέχων αἴγλην χαροπάροχον, τοῖς πίστει σοι ἀναφωνοῦσι ταῦτα·

Χαίροις τῆς γνώσεως τὸ ταμεῖον·
Χαίροις τῆς χάριτος τὸ δοχεῖον.

Χαίροις τοῦ ἐνθέου νόμου ὑπηρέτης ὁ πιστός·
Χαίροις γράμματος σκιώδους ὑπερόπτης ὁ σοφός.

Χαίροις τῆς δικαιοσύνης ἡ λαμπρότης ἡ τελεία·
Χαίροις τῆς ἀγαθωσύνης ἡ πραγμάτωσις ἡ θεία.

Χαίροις ὅτι φιλοτίμως ἔπραξες τὰ ἀγαθά·
Χαίροις ὅτι ἀπροσκόπτως ἔφθασας εἰς τὰ καλά.

Χαίροις πίστεως ἁγίας ὁ προοιμιάσας λόγον·
Χαίροις τοῦ Εὐαγγελίου ὁ προεικονίσας νόμον.

Χαίροις κλῆμα ζωηφόρον τῆς ἀμπέλου τῆς καινῆς·
Χαίροις βότρυν ὁ ἐνέγκας παγκαρπίας μυστικῆς.

**Χαίροις μνῆστορ θειότατε.**

Κάλλιστον ἐπεδείξω καὶ ἰσάγγελον βίον προπάτορ Ἰωσὴφ θεομάκαρ. Ἐν συνέσει γὰρ καὶ σωφροσύνῃ ἀληθεῖ πολιτευσάμενος, εὐάρεστος Κυρίῳ Θεῷ ἐγένου, πρὸς Ὃν αἰνέσεως φωνῇ ἐβόας τὸν εἱρμόν.

**Ἀλληλούϊα.**

Λέλυται τῆς ἀπάτης ἡ σκοτόμορφος πλάνη, τῷ τόκῳ τῆς Παρθένου Μαρίας. Καὶ τοῦ φωτὸς εἰς τὴν λαμπρὰν πανήγυριν, καλεῖ τὴν κτίσιν ὁ ταύτης μνήστωρ, τοῦ λέγειν αὐτῷ ἀξίως ταῦτα·

Χαίροις φωτὸς τοῦ ἀδύτου μύστα·
Χαίροις κακῶν δυσχερείας ῥύστα.

Χαίροις τὸ εὐῶδες ἄνθος παραδείσου νοητοῦ·
Χαίροις τὸ ὡραῖον ἄστρον οὐρανοῦ τοῦ λογικοῦ.

Χαίροις τοῦ ἁγίου βίου ὑποτύπωσις τελεία·
Χαίροις ἐναρέτων τρόπων ἡ βεβαίωσις ἡ θεία.

Χαίροις βίβλων θεοπνεύστων ἀνεξίτηλος σφραγίς·
Χαίροις ὕψους θεωρίας τῆς καλλίστης ἡ βαθμίς.

Χαίροις ὅτι τοῦ Κυρίου κατενόησας τὸν λόγον·
Χαίροις ὅτι ἐπαξίως τούτου ἔστερξας τὸν νόμον.

Χαίροις θείων ἐνταλμάτων ὁ σοφὸς ὑφηγητής·
Χαίροις ἅμα προσταγμάτων τοῦ Κυρίου τηρητής.

**Χαίροις μνῆστορ θειότατε.**

Μάλα τῆς ἀληθείας, τὸν θεόγραφον νόμον ἐπέγνως Ἰωσὴφ θεομάκαρ. Καὶ τὰς τούτου διδαχὰς γνώμῃ

εὐαρέστῳ ἐν σαυτῷ ἐφήρμοσας, τὸν Νομοδότην Κύριον δοξάζων ἐκ ψυχῆς, καὶ κράζων ἐκτενῶς Αὐτῷ τὸν ὕμνον.

**Ἀλληλούϊα.**

Νεύματι ὁ τὰ πάντα κυβερνῶν ὡς Δεσπότης, Ἁγνῆς ἐκ τῆς Παρθένου ἐτέχθη, ἧς Ἰωσὴφ θεόφρον μνήστωρ ἐχρημάτισας, καὶ ἐξαιρέτου δόξης ἔλαβες τὰ πρωτεῖα. Διὸ θεοπρεπῶς καὶ νῦν ἡμεῖς τιμῶντές σε, ἐν ὕμνοις βοῶμέν σοι κατὰ χρέος·

Χαίροις τὸ κάλλος τῆς εὐπρεπείας·
Χαίροις ἡ δόξα τῆς ἐκκλησίας.

Χαίροις ὁ ὡραῖος οἶκος τῶν ἐνθέων δωρεῶν·
Χαίροις τὸ εὐῶδες μύρον τῶν τιμίων ἀρετῶν.

Χαίροις ὁ διαφυλάξας τὴν ἀμόλυντον Μαρίαν·
Χαίροις ὁ πρωτοπιστώσας τοῦ Χριστοῦ τὴν παρουσίαν.

Χαίροις γνώσεως ἁγίας ὁ πληρέστατος λειμών·
Χαίροις τῆς Θεοῦ σοφίας ὁ γλυκύχυμος καρπός.

Χαίροις ὅτι μεγαλεῖα εἶδες τὰ ὑπερφυῆ·
Χαίροις ὅτι τὰ βραβεῖα ἔλαβες τὰ εὐπρεπῆ.

Χαίροις ὁ ἐν σωφροσύνῃ καὶ σεμνότητι ἐκλάμψας·
Χαίροις ὁ ἁγνὸν τὸν βίον τῇ ἁπλότητι συνάψας.

**Χαίροις μνῆστορ θειότατε.**

Ξίφεσι τῆς κακίας ὁ ληρώδης Ἡρῴδης, ἀπέκτεινε νηπίων τὸν δῆμον. Ἀλλ' ἐσύ, ὦ μνῆστορ Ἰωσήφ, Χριστὸν συνώδευσας, εἰς Αἴγυπτον αὐτὸν σὺν τῇ Παρθένῳ φυγαδεύσας, Θεοῦ τὴν προσταγὴν τελέσας εὐπειθέστατα, πρὸς Ὃν βοῶμεν ἐν ὑμνῳδίαις.

**Ἀλληλούϊα.**

Ὄργανον ἀνεδείχθης οὐρανίου σοφίας, προπάτορ Ἰωσὴφ θεηγόρε, τοῦ Θεοῦ τὴν δόξαν διηγούμενος, καὶ τῇ Αὐτοῦ ἐγγύτητι μυούμενος, ὡς πρᾶος καὶ ταπεινὸς

τῇ καρδίᾳ. Διὸ ἐν ὑμνῳδίαις σοι ἐγγίζοντες, προσᾴδομέν σοι ἀπὸ καρδίας τάδε·

Χαίροις ἡ κλῖμαξ τῆς θεωρίας·
χαίροις τὸ βάθος τῆς εὐλαβείας.

Χαίροις τῆς θεολογίας ἡ ἀστείρευτος πηγή·
χαίροις τῆς θεογνωσίας ἡ ἀπόκρυφος σφραγίς.

Χαίροις τῆς χρηστοηθείας ἐν λαμπρότητι ὁ λύχνος·
χαίροις τῆς ἀγαθωσύνης ἐν ὀρθότητι ὁ στῦλος.

Χαίροις Λόγου Θεανθρώπου νομιζόμενος πατήρ·
χαίροις τῆς Παρθένου Κόρης ὁ καλὸς προασπιστής.

Χαίροις ὅτι ἐθεάσω βρέφος τὸν Χριστὸν ἐν λίκνῳ·
χαίροις ὅτι ἐπορεύθης σὺν Παρθένῳ ἐν Αἰγύπτῳ.

Χαίροις ἐναρέτου βίου κατ᾽ ἀξίαν ἐραστά·
χαίροις οὐρανίου κόσμου ἐγνωσμένε φοιτητά·

**Χαίροις μνῆστορ θειότατε.**

Πέπτωκε τῶν εἰδώλων ἡ σκοτόμορφος πλάνη, Χριστοῦ ἐκ τῆς Παρθένου τεχθέντος. Καὶ φῶς ἀληθινὸν ἡμῖν ἀνέτειλε, οὗ Ἰωσὴφ προπάτορ ἐγένου λύχνος. Διὸ ἐπὶ λυχνίαν τὴν καλὴν θέντες ἡμῶν τὸν πόθον, βοῶμεν τῷ φωτοδότῃ Λόγῳ ἐν εὐθυμίᾳ.

**Ἀλληλούϊα.**

Ῥεύματα τῆς κακίας ἐξηράνθησαν αὖθις, καὶ ὕδωρ ἀνέβλυσε σωτηρίας, οὗ ἐπεθύμεις Ἰωσὴφ σὺν τοῖς προπάτορσι, καὶ τοῖς Δικαίοις πᾶσι πιεῖν ἐκ πόθου. Διὸ ἐπιποθοῦντες μετασχεῖν τῆς τούτου γεύσεως, βοῶμέν σοι τιμητικῶς τοιαῦτα.

Χαίροις ὁ μέγας ἐν τοῖς δικαίοις·
χαίροις ὁ ἄρχων ἐν τοῖς ἁγίοις.

Χαίροις ἐν τῇ ἐκκλησίᾳ κατ᾽ ἀξίαν ὁ ἐξέχων·
χαίροις ἐν τῇ πανηγύρει πρωτοτόκων ὁ προέχων.

Χαίροις θείων μυστηρίων ὁ γνωρίσας τὴν ὁδόν·
Χαίροις πλούτου αἰωνίου ὁ κερδίσας τὸν μισθόν.

Χαίροις θεϊκῆς ἀγάπης τὸ πληρέστατον βιβλίον·
Χαίροις αἴγλης ἀϊδίου τὸ πολύτιμον βραβεῖον.

Χαίροις ὅτι ἐπεσπάσω τῶν πιστῶν τὸν θαυμασμόν·
Χαίροις ὅτι ἐκομίσω τῶν ἐπαίνων τὸν ἑσμόν.

Χαίροις ὁ τὴν σωφροσύνην τῇ σεμνότητι συζεύξας·
Χαίροις ὁ καλῶς τοῦ βίου τὸν ἀγῶνα διαπλεύσας.

**Χαίροις μνῆστορ θειότατε.**

Σέβω τῶν ἀρετῶν σου τὸν θεάρεστον πλοῦτον προπάτορ Ἰωσὴφ θεοῤῥῆμον. Καὶ μακαρίζω ἅμα τὴν χρηστότητα τῶν τρόπων σου, δι᾽ ἧς καὶ ἠξιώθης τῆς θείας δόξης σύν τοῖς Δικαίοις, μεθ᾽ ὧν Θεῷ τὸν ὕμνον ᾄδεις τὸν προσήκοντα.

**Ἀλληλούϊα.**

Τέκτονος ἐργασίαν Ἰωσὴφ θεοπάτορ ἐξήσκησας σπουδῇ εὐαρέστῳ. Καὶ ἐκ ταύτης τὰ τοῦ ζῆν χρειώδη πορίζόμενος, ἐγένου τύπος καλῶν ἀγώνων, οὓς φιλοτίμῳ πόθῳ μακαρίζοντες, βοῶμέν σοι ἀνενδοιάστως ταῦτα·

Χαίροις ὁ ἄμεμπτος ἐν τῷ βίῳ·
Χαίροις ὁ δόκιμος ὡς χρυσίον.

Χαίροις τῆς φιλεργασίας ἡ εὐάρεστος εἰκών·
Χαίροις τῆς φιλοτιμίας ἀκριβέστατος κανών.

Χαίροις ὁ τῆς ῥαθυμίας τὴν ἀπόνοιαν μισήσας·
Χαίροις τῆς ἀοργησίας τὴν εὐπρέπειαν ποθήσας.

Χαίροις ὅτι ἐπεδείξω προκοπὴν ἐν ἀγαθοῖς·
Χαίροις ὅτι συνετάχθης ἐν προβάτοις δεξιοῖς.

Χαίροις ὁ χρηστοῖς τρόποις τῷ Θεῷ εὐαρεστήσας·
Χαίροις ὁ βουλαῖς ἁγίαις εὐπειθῶς διακονήσας.

Χαίροις τῆς ἀγαθωσύνης ὁ πληρέστατος κρατήρ·
Χαίροις τῆς καλῆς ἐλπίδος ὁ ἀχείμαστος λιμήν.

**Χαίροις μνῆστορ θειότατε.**

Ὕψιστον τὸ σὸν ἔργον καὶ ὑπέρτατον πέλει προπάτορ Ἰωσὴφ κατ' ἀξίαν. Τὴν ἁγνὴν Παρθένον γὰρ μεμνήστευσαι καὶ αὐτῆς προστάτης ἀναδέδειξαι καὶ ἐν πᾶσι πιστότατος παραστάτης. Διὸ καὶ νῦν ἡμεῖς, ἐν ὕμνοις σοὶ παριστάμενοι ἐξαιρέτως, ᾠδὴν βοῶμεν τὴν εὐχαριστήριον.

**Ἀλληλούϊα.**

Φύλαξ τῆς Παναγίας Θεοτόκου Παρθένου προπάτορ Ἰωσὴφ ἐγνωρίσθης, καὶ Χριστοῦ τοῦ ἐξ αὐτῆς ἀσπόρως κυηθέντος κηδεμὼν καὶ εὐσυμπάθητος συνοδίτης. Διὸ τὴν σὴν ἑόρτιον τιμήν, ἐν χαρμοσύνοις ὕμνοις συνοδεύομεν, βοῶντές σοι μετ' εὐμενείας τάδε·

Χαίροις ὁ μνήστωρ Ἁγνῆς Παρθένου·
Χαίροις ὁ φίλος χοροῦ ἀγγέλων.

Χαίροις τῆς περιουσίας τῆς καλλίστης ὁ καρπός·
Χαίροις τῆς κληρονομίας τῆς ἀφθάρτου ὁ υἱός.

Χαίροις ἡ λαμπὰς ἡ θεία Διαθήκης τῆς προτέρας·
Χαίροις τοῦ φωτὸς ὁ λύχνος καλλονῆς τῆς ὑπερτέρας.

Χαίροις ὅτι ἠγκαλίσθης τὸν θεάνθρωπον Χριστόν·
Χαίροις ὅτι ἠξιώθης τοῦτον φέρειν ἐν Ναῷ.

Χαίροις, ὁ ταῖς ἀγγελίαις τοῦ Θεοῦ καθυπακούσας·
Χαίροις Συμεὼν πρεσβύτου προφητείαν ὁ ἀκούσας.

Χαίροις θείων μυστηρίων τὰ θαυμάσια ἰδών·
Χαίροις ἐξαισίων ἔργων τὰ ἀπόῤῥητα μαθών.

**Χαίροις μνῆστορ θειότατε.**

Χάριτος ἠξιώθης θαυμαστῆς καὶ μεγάλης, προπάτορ Ἰωσὴφ κατ' ἀξίαν. Τῆς Κεχαριτωμένης γὰρ Ἁγνῆς Παρθένου μνήστωρ γέγονας, Κυρίου τελέσας τὰς δια-

τάξεις, πρός Ὃν ἁρμόδιον προσφέρεις αἴνεσιν εἰς τοὺς αἰῶνας.

**Ἀλληλούϊα.**

Ψάλλοντας τοὺς Ἀγγέλους, Βηθλεὲμ ἐν Σπηλαίῳ, τὸ Δόξα ἐν Ὑψίστοις Κυρίῳ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, ὦ μνῆστορ Ἰωσὴφ ἠκροάσω, Χριστοῦ ἐν τῇ ἁγίᾳ Γεννήσει. Διὸ καὶ παρ᾽ ἡμῶν τῶν θαυμαζόντων σε, ἀκούεις τοιάδε ἐν κατανύξει·

Χαίροις Χριστοῦ τοῦ Σωτῆρος προπάτορ·
χαίροις κλεινῶν μυστηρίων ἐκφάντορ.

Χαίροις ἁγίων Ἀγγέλων ἐφάμιλλε·
χαίροις χοροῦ ἀσωμάτων συνόμιλλε.

Χαίροις ὁ διαφυλάξας ἣν παρέλαβες Παρθένον·
χαίροις ὁ διατηρήσας τὸν σὸν λύχνον ἀνημμένον.

Χαίροις κῆρυξ καὶ αὐτόπτα μεγαλείων θαυμαστῶν·
χαίροις μύστα καὶ θεράπον μυστηρίων ἱερῶν.

Χαίροις ὅτι οὐρανίους ἠκροάσω μελῳδίας·
χαίροις ὅτι τοῦ πρεσβύτου ἤκουσας τὰς προφητείας.

Χαίροις ὁ ἐνδεδυμένος τὴν λαμπρὰν περιβολήν·
χαίροις ὁ κεκοσμημένος τῇ βασιλικῇ στολῇ.

**Χαίροις μνῆστορ θειότατε.**

Ὦ Κυρίου προπάτορ, Ἰωσὴφ θεηγόρε, Παρθένου Παναγίας ὁ μνήστωρ (γ΄) (Ἅγιε προπάτορ τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν), ἐν Δικαίοις πρώτιστε καὶ ἔξαρχε, Διαθήκης νέας τὸ προοίμιον, τῆς παλαιᾶς τε ὕψιστον κεφάλαιον, πρόσδεξαι τῶν ἱκετῶν σου δέησιν ὁλόθυμον, βοώντων σοι ἐν ὑψώσει θείων ἀναβάσεων, τὴν ὑπεράρχιον ᾠδήν·

**Ἀλληλούϊα.**

## Καὶ πάλιν τὸ Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τῶν Προπατόρων τοῦ Χριστοῦ τὸ σεμνολόγημα, τῆς Παλαιᾶς τε Διαθήκης τὸ ἐκσφράγισμα, τῶν ἀνδρῶν τε τῶν Δικαίων τὸ θεῖον κάλλος. Τὸν προστάτην τῆς πανάγνου Θεομήτορος, Ἰωσὴφ τὸν ἀγαθότητι κοσμούμενον, ὕμνοις μέλψωμεν· **Χαίροις μνῆστορ θειότατε**.

## Δίστιχα Ἀκροτελεύτια.

Δικαιοσύνης ἐν ὁδῷ ἀξίωσόν με βαίνειν,
Δίκαιε πάτερ Ἰωσήφ, μνῆστορ τῆς Θεοτόκου,
βοᾷ σοι παρακλήσεσιν ἡ πένης Ἰσιδώρα,
εἰς τὰς ἐπαύλεις τῆς ζωῆς ἵνα αἰσίως φθάσω,
τὸν Ζωοδότην Κύριον τὸν ἐν Τριάδι Ἕνα,
Πατέρα ἅμα τῷ Υἱῷ καὶ Πνεύματι Ἁγίῳ,
αἰνοῦσα καὶ δοξάζουσα εἰς πάντας τοὺς αἰῶνας.
ΑΜΗΝ.

# «ΛΟΓΟΣ ΕΓΚΩΜΙΩΝ ΠΕΖΟΣ» ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΠΡΟΠΑΤΟΡΑ ΙΩΣΗΦ ΤΟΝ ΜΝΗΣΤΟΡΑ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

(οὗ ἡ ἱερὰ σύναξις ἐπιτελεῖται τὴν 26ην Δεκεμβρίου)

***Ὑπὸ Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης***

Εἰς ἑορτὴν χαρμόσυνον καὶ εἰς σύναξιν αὖθις πνευματικῆς πανηγύρεως, συγκαλεῖ ἡμᾶς σήμερον ἡ μνήμη τοῦ Δικαίου Ἰωσὴφ τοῦ προπάτορος, τοῦ μνήστορος τῆς Παναγίας Θεοτόκου Μαρίας. Εὐφράνθητε οἱ Δίκαιοι καὶ πᾶσαι αἱ πατριαὶ τῶν πιστῶν θεοπρεπῶς ἀγαλλιᾶσθε, σκιρτῶντες δὲ ἐν χαρᾷ, ἐγκωμίων λόγους ἡμεῖς μετὰ σπουδῆς εὐαρέστου, τῷ ἱερῷ προπάτορι ἐκφωνήσωμεν, ἐκ πόθου θεαρέστου.

Καὶ γὰρ οὗτος ὁ μακάριος, τὴν δικαιοσύνην ἠγάπησε καὶ ταύτην ὡς στολὴν εὐπρεπεστάτην, μετὰ δόξης καὶ τιμῆς πρεπούσης ἐνεδύσατο. Τῷ δὲ κάλλει τῆς εὐσεβείας ὑπὲρ λίαν διέλαμψε καὶ τῷ πλούτῳ τῆς ἀγαθωσύνης κατ' ἀξίαν προέκοψεν. Ἐν σεμνότητι διάγων καὶ ἐν ἀρεταῖς πολιτευόμενος, ἐν ἔργοις τε ἀρίστοις καὶ χρηστοῖς διακρινόμενος, τῆς χάριτος ὄργανον ἐγένετο καὶ σκεῦος ἐκλογῆς διεγνωσμένον.

Τοῦτον γὰρ τὸν Ἰωσὴφ ἐξελέξατο Κύριος ὁ Θεός, μνηστευθῆναι τὴν ἄσπιλον καὶ πανυπέραγνον Παρθένον Μαριάμ, τὴν ἀπὸ πασῶν τῶν γενεῶν προορισθεῖσαν εἰς τὸ γενέσθαι Μητέρα Αὐτοῦ. Ὢ δόξης θαυμαστῆς καὶ τιμῆς ὑπερβαλλούσης, ὧν ἠξίωται ὁ θαυμαστὸς ἐν τοῖς Δικαίοις

καὶ τετιμημένος ἐν τοῖς ἐκλεκτοῖς, ὁ θεῖος οὗτος Ἰωσήφ! Ὢ χάριτος οὐρανίου καὶ δωρεᾶς θεοπρεποῦς, ὧν ἔλαβεν ὁ οὐρανόφρων καὶ θεοειδὴς τῷ βίῳ, προπάτωρ θεῖος Ἰωσήφ! Ὢ μακαρίου κλήρου καὶ ἐξαιρέτου προνομῆς, ἃ ἐδέξατο ὁ μακάριος οὗτος καὶ θεηγόρος Ἰωσήφ, ὁ ἐν τοῖς ἐκλεκτοῖς Θεοῦ μέγας καὶ ἐν τοῖς ἄρχουσιν ἐξέχων τῆς πρώτης Διαθήκης, ἐπισφραγίσας ταύτην τῇ παρουσίᾳ τῇ αὐτοῦ!

Ὢ τιμῆς ἣν ἐξαίρουσιν Ἄγγελοι ἐν οὐρανοῖς καὶ θαυμάζουσιν ἄνθρωποι ἐπὶ τῆς γῆς! Ὅτι τὴν πλατυτέραν τῶν οὐρανῶν καὶ πάσης γῆς ὑψηλοτέραν, τὴν Κυρίαν τῶν Ἀγγέλων καὶ τῶν ἀνθρώπων προστασίαν κραταιάν, τὴν τῶν ἁπάντων Δέσποιναν καὶ ἀπειρόγαμον Θεοτόκον Μαριάμ, τῇ τοῦ Θεοῦ εὐδοκίᾳ ὑπὸ τὴν σὴν προστασίαν παρέλαβες, ὡς μνήστωρ ταύτης Δίκαιε προπάτορ Ἰωσήφ. Καὶ ἐγγυητὴς ἐν τούτῳ ἐγένετο, ἡ σώφρων σου καὶ θεία πολιτεία καὶ ἡ ἐνάρετος καὶ σεμνοτάτη βιοτή.

Πρεπόντως γὰρ Κύριος ὁ Θεός, τὴν κιβωτὸν αὐτοῦ τὴν ἔμψυχον, παρέθετο χερσὶ τοῦ δικαίου Ἰωσὴφ ταῖς καθαραῖς καὶ τιμίαις. Ἀξίως τε τὸν τόμον τούτου τὸν καινόν, ἐν ᾧ Πνεύματι Ἁγίῳ ἐγράφη ὁ Λόγος τοῦ Πατρός, τὴν Παναγίαν Κόρην Μαριάμ, ἐνεπιστεύσατο ἀνδρὶ τούτῳ, τῷ σοφῷ καὶ πνευματοφόρῳ Ἰωσήφ. Εὐλόγως τὴν εὐλογημένην καὶ κεχαριτωμένην ἀειπάρθενον Θεοτόκον, ἀφῆκεν ὑπὸ τὴν ἀντίληψιν τοῦ εὐλογημένου τούτου καὶ σεμνοτάτου Ἰωσήφ.

Οὗτος γὰρ τῆς χάριτος κοινωνὸς ἐγένετο καὶ τῶν ἐνθέων δωρεῶν πληρέστατον ταμεῖον. Ἐπλουτίσθη ταῖς ἀρεταῖς καὶ ἐπλούτισεν ἡμᾶς τῷ πλούτῳ τῆς θεογνωσίας. Ἐσοφίσθη παρὰ Θεοῦ καὶ ἐσόφισεν ἡμᾶς τοῖς τρόποις τῆς καλλίστης πολιτείας. Ὑπέδειξεν ἡμῖν ὁδοὺς δικαιοσύνης, ἃς ἐβάδισε μετὰ πιστότητος πολλῆς καὶ θείας συνεπείας. Παρέθετο ἡμῖν πᾶσιν ἑαυτόν, τύπον καὶ ὑπογραμμὸν πράξεως καὶ θεωρίας.

Πρᾶος γὰρ ὑπῆρξεν ὁ μνήστωρ οὗτος Ἰωσὴφ καὶ ταπεινὸς τῇ καρδίᾳ, διὸ καὶ ἐκληρονόμησε τὴν γῆν τὴν

ἀγαθήν, ἣν ὤμοσε Κύριος ὁ Θεὸς τοῖς πατράσιν ἡμῶν, εἰς Διαθήκην σωτηρίας. Χρηστὸς τοῖς ἤθεσι καὶ πάνυ ἀγαθὸς τοῖς τρόποις, τῇ πολιτείᾳ σεμνός, τῇ συνέσει πολιός, τῇ σωφροσύνῃ ἀκατάγνωστος, τῇ εὐπρεπείᾳ ἐξαιρέτως διαλάμπων!

Τίς μὴ θαυμάσειεν τὸν ἄμεμπτον τοῦτον Ἰωσὴφ τὸν μνήστορα, τίς μὴ τοῦτον ἐπαινέσει! Ἢ τίς ὡσαύτως ὡς ἐκλεκτὸν αὐτόν, μὴ ἐν ὕμνοις ὑπαντήσει; Καὶ ἐγκωμίων ᾄσμασι, τίς μὴ αὐτὸν ἀξίως στεφανώσει;

Στέφανον γὰρ ἐδέξατο παρὰ Θεοῦ, τὸν ἄφθαρτον καὶ ἀμαράντινον, τῆς εὐαρέστου πολιτείας. Ἄγγελοι τοῦτον σέβουσιν καὶ οἱ βροτοὶ ἐπὶ τῆς γῆς ἐν κατανύξει εὐλαβοῦνται. Πολλὰ τὰ τούτου προτερήματα, μεγάλη τε καὶ ἰσχυρὰ ἡ πρὸς Θεὸν ἐν ἱκεσίαις τούτου παρρησία. Ὅσα τῆς Θεοτόκου καὶ Παρθένου Μαριὰμ ἐν οἰκειότητι ὑπάρχουσι καὶ προσεγγίζουσι ἐν λειτουργίᾳ προσηνοῦς καὶ θείας διακονίας, εἰσὶ ὑπέρτατα καὶ ἀκατάληπτα, τῇ τοῦ Θεοῦ τε εὐδοκίᾳ ἡρμοσμένα.

Θαυμάζω διόπερ μνῆστορ Ἰωσὴφ τὸ ἔργον σου, ὅπερ ἐτέλεσας Θεοῦ καθυπακούσας τῇ προστάξει. Τὴν γνώμην μακαρίζω σου τὴν εὐσυμπάθητον, ἣν ἔσχες ἐν συνέσει θείας εὐποιΐας. Τοὺς τρόπους σου ἐξαίρω τοὺς οἰκτίρμονας, ὅτι ἀγάπην ἀνυπόκριτον ἐπεδείξω. Τὸ ὕψος καταπλήττομαι τῆς δόξης σου, ὅτι τετίμησαι ἐνδόξως παρὰ Κυρίου.

Ἐγγὺς τῇ Θεοτόκῳ Κόρῃ Μαριὰμ Θεός σε ἔθετο, φυλάττειν αὐτὴν ὡς «ὀφθαλμοῦ σου κόρην» καθηγιασμένην. Καὶ ἠξιώθης ἔνθεν καθορᾶν Θεοῦ τὰ ἄῤῥητα καὶ ξένα μυστήρια παραδόξως. Ὅτι αὐτὴν ἐν Βηθλεὲμ τῇ πόλει ἔφερες, ἀσπόρως κυοφοροῦσαν Θεὸν τῶν ὅλων. Καὶ ἐν Σπηλαίῳ αὖθις βρέφος τὸν τοῦ κόσμου ποιητὴν ἑώρακας, τεχθέντα ἐκ ταύτης ἀνερμηνεύτως.

Μακάριαι αἱ χεῖρες σου παμμάκαρ Ἰωσὴφ καὶ ἅγιαι, ἁψάμεναι τοῦτον Θεοποθήτως. Τὰ ὦτα σου ὡσαύτως τρισμακάρια, ἀκροασάμενα ἐκεῖσε τὰς οὐρανίους μελῳδίας. Ἀγγέλων συμφωνίαι γὰρ ἠκούσθησαν, ψαλλόντων ἐξ

www.tezaurliturgic.ro

ὕψους ἀκαταπαύστως, τὸ «*Δόξα ἐν Ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία*». Συνυπουργοῦντάς τε τῷ μυστηρίῳ τούτῳ τοὺς ποιμένας ἔβλεψας, Θεὸν ἐν πίστει προσκυνοῦντας καὶ ἀληθείᾳ.

Καὶ Μάγους δῶρα προσκομίζοντας, ὑπήντησας, ἐν τῷ Σπηλαίῳ τούτῳ συνακολούθως, πολύτιμον χρυσόν, σεπτόν τε λίβανον καὶ σμύρναν βαρύτιμον ἁρμοδίως. Τῷ γάρ Κυρίῳ τῷ τὰ πάντα ἐπιβλέποντι, ἁρμόζει λατρεία καθαρωτάτη, ὡς καὶ καρδίας πίστις ἀπροσποίητος, ἀγάπης τε προσφορὰ ὁλόθυμος, τῆς ὁλοκλήρου γνώμης ὡς κεφαλίδα.

Καὶ ταῦτα Ἰωσὴφ ὁ μνήστωρ προσεπέθετο τοῖς δώροις τῶν Μάγων συγκοινωνήσας. Ὅτι τὸν τῆς καρδίας πόθον τῷ Χριστῷ οὗτος προσέφερεν, ἐν πίστει ἀγάπῃ τε καὶ ἐλπίδι. Τὴν πίστιν γὰρ ὡς λίβανον ἐκτήσατο, ἐλπίδα ὡς σμύρναν καὶ τὴν ἀγάπην ὡς πάντιμον χρυσὸν ἀπέδωκε Κυρίῳ τῶν ὅλων, πρεπούσῃ δόξῃ. Τοῦ ἐν Τριάδι γάρ Θεοῦ ὡς μύστης ἔνθεος καὶ λάτρης ὡσαύτως τετιμημένος, τρισσόκλεον ἀνάθημα ὡς προσφορὰν ἐκόμισεν εὐλαβείας.

Τοῦ Μυστηρίου τούτου θεασάμενος ἐκ τοῦ ἐγγὺς τὰ ἄῤῥητα μεγαλεῖα, ὦ Ἰωσὴφ θεράπον τοῦ Θεοῦ μακάριε, εὐθέως καὶ ἄλλων ὑψηλοτέρων κατηξιώθης.

Ὡς βρέφος ἡμερῶν γὰρ τεσσαράκοντα, σὺν τῇ Μητρὶ Αὐτοῦ ἀειπαρθένῳ Κόρῃ σεμνῇ Μαρίᾳ ἐν τῷ Ναῷ τῷ θείῳ προσεφέρατε, ὡς μόνον Ἅγιον ἐν ἁγίοις. Καὶ ὑπαντήσας τοῦτον Συμεὼν ὁ πρέσβυς ἀνεβόησε· «*Νῦν ἀπολύεις με ἐν εἰρήνῃ, ὅτι Σὲ εἶδον φῶς Ἐθνῶν εἰς ἀποκάλυψιν καὶ δόξαν λαοῦ σου περιουσίου*».

Μακάρια καὶ πάλιν σου τὰ ὦτα, Ἰωσὴφ μακάριε, τοιαύτης ῥήσεως θεοπνεύστου, ἐκ τοῦ ἐγγὺς ἀκούσαντα, εἰς πάντων βεβαίωσιν σωτηρίας. Τὴν Λύτρωσιν Χριστὸς γάρ τοῖς λαοῖς παρέσχετο, ἣν προσεδόκουν ἐλπίδος πόθῳ, ἐθνῶν τὰ πλήθη ἀπ᾽ αἰώνων. Καὶ ταύτης τὴν αὐγὴν ἐπιφανεῖσαν ἔφθασας, ὦ Ἰωσὴφ υἱὲ ἡμέρας τῆς λαμπροφώτου. Ἀνατολὴν ἀνατολῶν τε εἶδες ἀνατέλλουσαν, τῇ ταύτης τε θέᾳ κατελαμπρύνθης.

Καὶ νῦν τῆς ἱλαρότητος τῆς σῆς θαυμάζοντες τὸ ἔλαιον, ὡς λύχνον σε ἔχομεν εὐπρεπείας. Καὶ τῷ φωτὶ τῆς δόξης τοῦ Κυρίου πορευθείς, ὦ μνῆστορ Ἰωσὴφ θειότατε, ὁδοὺς εὐθείας ἡμᾶς διδάσκεις βαδίζειν ἀνεμποδίστως. Τῶν ὁδοιπόρων γὰρ σὺ ὑπάρχεις θερμὸς προστάτης, ὅτι ὁδὸν μακρὰν σὺν τῇ Παρθένῳ Μαριάμ, τῇ σῇ μνηστῇ ἐβάδισας, ἐκ Βηθλεὲμ εἰς Αἴγυπτον φθάσαντες θείᾳ νεύσει.

Ὅτε Ἡρῴδης γὰρ ὁ Βασιλεὺς ἠθέλησε μαχαίρᾳ τὰ νήπια ἀποκτεῖναι, τότε τὴν τοῦ Ἀγγέλου ἤκουσας φωνήν, εἰπόντος σοι: «*μὴ φοβηθεὶς παραλαβεῖν Χριστὸν τὸ βρέφος σὺν τῇ Παρθένῳ Μητρὶ Μαρίᾳ, ἐκ Πνεύματος Ἁγίου γὰρ Αὐτὸν συνέλαβεν καὶ ἔτεκεν ἀφράστως ἀνδρὸς δίχα. Εἰς Αἴγυπτον διὸ εὐθὺς μετάβηθι, ἕως ἂν παρέλθῃ ἡ τοῦ Ἡρῴδη ὀργὴ ἡ ἄφρων*». Καὶ τοῦτο ὡς ὑπήκοος καλός, ὦ Ἰωσὴφ ἐτέλεσας, εὐθυδρομήσας εἰς Αἴγυπτον ἀγογγύστως.

Καὶ πάλιν, ὅτε ὁ θυμὸς τοῦ μανιώδους Βασιλέως τέλος ἔλαβεν, εἰς χώραν ἦλθες τῆς Γαλιλαίας. Διόπερ τῶν ὁδοιπορούντων ὁδηγὸν καλοῦμέν σε καὶ ῥύστην πάντων τῶν ἐν ἀνάγκαις. Προστάτης σὲ ὡσαύτως τῶν ἀδικουμένων ἔνθερμος, κινδυνευόντων τε θεῖος συμπαραστάτης, ὦ Ἰωσὴφ ὑπάρχεις ἐνθεώτατε, ὅτι τὴν προστασίαν ἀνέλαβες τῆς Ἁγνῆς Παρθένου.

Φρουρὸν συνακολούθως πάντων τῶν ἐν θλίψεσίν σε ἔγνωμεν, ὅτι ἐκ θλίψεως ῥύεις τοὺς σὲ καλοῦντας· τῶν καταπονουμένων τε ἐλπίδα χαροπάροχον, τῶν λυπουμένων τε θυμηδία καὶ δύναμιν ἰσχύος ἀκατάβλητον, πάντων τῶν ἐν κακοῖς ποικίλοις περιπεσόντων σὲ προσφωνοῦμεν. Διωκομένων σύμμαχον ἀήττητον, πολεμουμένων τε τεῖχος ἐν ἀσφαλείᾳ. Ὅτι Κυρίου τοῦ Θεοῦ, ἐπὶ τῆς γῆς ἐκ τῆς Παρθένου νηπιάσαντος ἑκουσίως, προστάτης σὺ ἐγένου ἀσφαλέστατος, ὥστε «*πατὴρ αὐτοῦ καὶ κατὰ χάριν ὀνομασθῆναι*».

Διὸ πατροποθήτως σοι τὸν αἶνον προσκομίζοντες, βοῶμέν σοι ὅλης ἀπὸ καρδίας. Γενοῦ ἡμῖν ἐν τῇ ὁδῷ τοῦ

βίου βοηθός, ὦ Ἰωσὴφ θειότατε, καθοδηγῶν ἡμᾶς ἐν τρίβῳ τῆς σωτηρίας. Ἐν τῷ λιμένι τῆς ζωῆς ἡμᾶς καθόρμισον, λιμὴν γαλήνιος καὶ εὔδιος ὡς ὑπάρχων. Τὰς ἀδικίας τε βαστάζειν εὐχαρίστως ἡμᾶς ποίησον, εὐχαῖς σου πρὸς Κύριον εὐπροσδέκτοις.

Τῆς παρθενίας καὶ τῆς σωφροσύνης ἅμα ἐραστὰς ἡμᾶς ἀνάδειξον, ὡς φίλος τῆς σώφρονος πολιτείας. Ἐργάτας φιλοτίμους ἐν τῷ ἀμπελῶνι τοῦ Κυρίου, ἡμᾶς δεῖξον ἱκεσίαις σου, ὡς φιλοκάματος τέκτων καὶ τίμιος ἐργάτης τῶν καλῶν, ὦ μνῆστορ Ἰωσὴφ θεόσοφε. Ἵνα μὴ τῆς ῥαθυμίας τοῖς κακοῖς ἐμπέσωμεν καὶ ὡς δοῦλοι ὀκνηροὶ καὶ ἀμελεῖς, ἔξω τοῦ θείου νυμφῶνος, φεῦ! εὑρεθῶμεν. Ἀλλὰ τοῦ γάμου ἔνδυμα λαμπρὸν φορέσαι ἡμᾶς, εὐχαῖς σου, καταξίωσον καὶ σὺν παρθένοις ταῖς φρονίμοις εἰς τοῦ φωτὸς ἐλθεῖν τὰς θείας κατασκηνώσεις. Ἵνα λαμπρότητος τῆς ἄνω κοινωνοὶ γενώμενοι, δοξάζωμεν πάντες Θεὸν τῶν Φώτων, Πατέρα σὺν Υἱῷ καὶ θείῳ Πνεύματι, ᾧ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας. ΑΜΗΝ.

## Δίστιχα Ἀκροτελεύτια.

Τοὺς λόγους μου τοὺς ταπεινούς,
ὦ μνῆστορ Ἰωσὴφ ὡς δῶρον πρόσδεξαι,
ἡ πένης κραυγάζει σοι Ἰσιδώρα,
τῷ Λόγῳ καὶ Υἱῷ Θεοῦ,
Χριστῷ τε τούτους εὐμενῶς προσάγαγε,
σὺν τῇ Παρθένῳ ἅμα τε Θεοτόκῳ,
ἵνα ἐλέους τύχω παρ' Αὐτοῦ ἐν χάριτι,
καὶ δόξης τῆς θείας γένωμαι κληρονόμος,
εἰς τοὺς αἰῶνας τούτου ᾄδουσα τὰ θεῖα καὶ ἄῤῥητα μεγαλεῖα.
Ὅτι Αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ εἰς τοὺς αἰῶνας.
ΑΜΗΝ.